Ταῦτα μὲν καὶ τὰ τοιαῦτα σημαίνει τὰ ζῳδια αὐτὰ καθ' ἑαυτὰ — ἡ δὲ Σελήνη εὐκράτους καὶ εὐσάρκους.

F. 164. Εἰ ἄρρεν ἡ θῆλυ τὸ ἐγγάστριον (Ὁ Ἥλιος ἐὰν γένηται τετράγωνος — [f. 164v] ἐν θηλυκῷ ζωδίῳ, θῆλύ ἐστι). Haec et seqq. usque ad f. 165 fere e Theophilo; cf. cod. Flor. 7, f. 170v sqq.
Περὶ ἐμπράκτου ἀνθρώπου (Ὁ τεχθεὶς ἄνθρωπος — ἐπιβλαβὴς γίνεται).
Περὶ κτήσεως δούλων (Σελήνη οὖσα ἐν Κριῷ — [f. 165] καὶ ἐμπόρους ἀγόραζε).
Περὶ ὁμιλοῦντος ἕνεκά τινος πράγματος (Ἐάν τις ὁμιλήσῃ — [f. 165v] ἐὰν ἐν φυλακῇ).
Πολὺς ὁ στρατὸς ἢ ὀλίγος (Λαβὼν ἀπὸ τῆς μοίρας — τὸ πλῆθος ἢ πλείους).
Περὶ δόλου [δούλου cod.] καὶ ἐνέδρας (Κρόνου καὶ Σελήνης — [f. 166] τοὺς ἐπιστρατευομένους).
Περὶ πολέμου (Ὅταν πυνθάνοντός σου [*sic*] — [f. 166v] μετακίνησιν καὶ σχηματογραφίαν) = cod. Flor., f. 215v.
Περὶ τοῦ (*sic*) πολιορκουμένων πόλεων (Περὶ δὲ τῶν πολιορκουμένων πόλεων — [f. 167] τὸν πόλεμον ἔσεσθαι σημαίνει).
Πρὸς τὸ πολιορκεῖσθαι πόλιν (Ἔστω ἡ Σελήνη λειψιφωτοῦσα ... ἄλλως — ὁ δὲ Κρόνος βραδύτητα).
Περὶ πολιορκουμένων πόλεων (Βλέπε τὸν ὡροσκόπον καὶ τὸν β′ τόπον — [f. 168] κακοποιοὶ δὲ ἅλωσιν).
Περὶ δόλου καὶ λόχου καὶ ἐνέδρας (Ἐάν τις λόχον ἢ ἐνέδραν ... ἄλλως — καὶ αἰφνίδιον ἐπιριφήν [*sic*]).
Περὶ στρατείας (Ὅταν τις πυνθάνεταί σου — καὶ μάλιστα ἐπίκεντροι ὄντες) = cod. Flor., f. 216v. —
Ἐὰν ἐρωτηθῇς περὶ πόλεως ἠρημωμένης ἢ τόπου, ἀνακτίζεται ἢ οὐ κατακεῖται καὶ ὑπό τινος οἰκοδομεῖται (Ἐκ τοῦ ὡροσκόπου μὲν γὰρ ληπτέον — [f. 170] τὰς κωλύσεις καὶ τὰς συμφοράς) = cod. Flor. 11, f. 309v (ex Palcho).
Ἐὰν ἐρωτηθῇς περὶ πόλεως, πολιορκεῖται ἢ οὔ· καὶ ἐὰν πολιορκεῖται, σώζεται ἢ παραλαμβάνεται (Ἔστω ὡροσκόπος ἡ πόλις — κακοποιοῦ δὲ τοὐναντίον) = cod. Flor. 11, f. 310v (ex Palcho).
Καταρχὴ πολεμική (Ἐκ τοῦ ὡροσκόπου ληπτέον — [f. 171v] καὶ ἀμαχήτως [-του cod.] τὴν πόλιν λήψῃ) = cod. Flor. 11, f. 311 sq.

F. 172. Καταρχὴ πολεμική, ἐξ ἧς γνωρίζεται πᾶσα ἡ τοῦ πολέμου ἀναστροφή (Ἐκ τοῦ ὡροσκόπου γνωρίζεται — [f. 172v] ἀποφαινόμενοι οὐ μὴ σφαλῶμεν) = cod. Flor. 11, f. 312v.
Περὶ πολέμου (Δωρόθεος καὶ οἱ περὶ αὐτὸν λεπτομερέστερον ἐξετάσαντες ὑπέγραψαν· ἀλλὰ καὶ ἡμεῖς — καὶ τοῦτο πάλιν κοινόν). —

F. 173v. Post ornamentum : Θεοφίλου φιλοσόφου πόνοι περὶ καταρχῶν πολεμικῶν προσφωνεῖσθαι Δευκαλίωνι (*sic*) τὸν παῖδα αὐτοῦ (Ἡ φυσικὴ τῶν ἀστέρων ἰδιοτροπία, ὦ κοσμιώτατε Δευκαλίων — [f. 175] οὐ πταίσειας θεοῦ συνεργοῦντος)[1].

F. 175. Καταρχὴ πολεμική (Ἐάν τις πόλεμον ἄρξηται — [f. 185] καὶ μάλιστα τῶν κακοποιῶν ἀποστρόφων ὄντων).
Περὶ τριγώνων (Κρόνος Διὶ τρίγωνος — [f. 186] καλοὶ καὶ εὐδόκιμοι).
Περὶ τετραγώνων (Κρόνος ἐπιδεκατεύων Δία ἐπὶ τῆς πολεμικῆς καταρχῆς — [f. 188] διὰ δόλου τὴν νίκην παρασκευάζει).
Sequuntur capita περὶ διαμέτρων, περὶ ἑξαγώνων, περὶ πολέμου, ἐάν τις τηραννῆσαι (*sic*) θέλῃ καὶ ἑαυτὸν ἐλευθερῶσαι ἀπὸ ὑποταγῆς τῶν κρατούντων, περὶ τυραννίδος, ἐν ποίῳ τόπῳ γίνεται ὁ πόλεμος, πότε γίνεται πόλεμος [*bis*], ἄλλη σκέψις, περὶ ἀναλύσεως, περὶ πολέμου προσδοκουμένου ἢ κακοῦ τινος πότε γίνεται, περὶ πολέμου, προσδοκία πολέμου καὶ περὶ τοῦ μέλλοντος ἀπέρχεσθαι εἰς πόλεμον, περὶ τοῦ ἐπιμεῖναι ὁ πόλεμος ἢ οὔ, περὶ πολέμου ποιότητος, περὶ τῶν ἀποσταλέντων στρατιωτῶν πρὸς ἐπιζήτησιν ἑτέρων στρατιωτῶν καὶ βούλει γνῶναι εἰ καταλάβῃ αὐτοὺς καὶ γενήσεται μεταξὺ ὁ πόλεμος, περὶ πολέμου, περὶ πόλεως πολιορκουμένης εἰ κρατηθήσεται ἢ οὔ, περὶ πολέμου, ἄλλη σκέψις. Des. f. 203 γυναῖκα διακονεῖν ἐν τοιαύταις ὑπηρεσίαις. Haec partim congruunt cum primo Apomasaris libro, cod. Flor. 11, f. 27 sqq.

F. 203. Σαραπίωνος Ἀλεξανδρέως[2] εἰσαγωγὴ ἐπισκοπὶς (*sic*) περὶ οἰκοδεσπότου καὶ περὶ ὑψωμάτων (Ὑψώματι δέ ἐστι τῷ ἀστέρι — [f. 203v] οἶκος καὶ ὕψωμα ἡ Παρθένος).
Περὶ καταρχῆς (Τοὺς ἐπικειμένους ἀστέρας — [f. 205] καὶ ὁ Ἥλιος ταῦτα κοινῶν [*sic*]).
Περὶ καταρχῆς πῶς γνωσόμεθα τὸν τὸ κῦρος ἐπέχοντα ἐπὶ πάσης ἐκζητήσεως (Πρὸ πάντων δεῖ ζητεῖν — [f. 206] ἐπὶ πάσης καταρχῆς ἡμῖν ἐστιν).

F. 207. Περὶ πράσεως καὶ ὠνῆς (Τρόποι δὲ τῆς πράσεως — [f. 207v] καὶ τῶν πραγμάτων ἁπλῶς).
Περὶ παῖδα ἀγαγεῖν εἰς σχολεῖον ἢ εἰς οἵαν βούλει τέχνην (Πρὸ πάντων εἶναι τὴν Σελήνην — [f. 208] τὰ β′ ὑπὸ τῶν β′ καὶ ἑξῆς).
Περὶ αἰτήσεως χάριτι χρημάτων (Ἐν τούτῳ τῷ κεφαλαίῳ — [f. 208v] τοῦ ὡροσκόπου εὐθυποροῦντες).
Περὶ νόσου ἐμπεριέχει ἡ ὑπόθεσις καὶ περὶ πλεόντων καὶ

[1] Capita quae ff. 173v-203 leguntur, excerpta sunt ex libris Theophili quae in codd. Vatic. 212, f. 108 ss., Paris. 2417, f. 4 ss. et Paris. Suppl. grec 1241, f. 1 ss. servantur. De quibus plura in *Catal. Romano* invenies.

[2] De Serapione, cf. *Catal.*, I, p. 99, 101, et Boll, *Byzant. Zeitschr.*, VIII, 1899, p. 525 qui eum Serapionem Antiochenum Hipparchi, ut videtur, discipulum esse suspicatus est.

δεσμευθέντων (Περὶ πάντων δεῖ σκέπτεσθαι, ὥς φησι — [f. 209v] περὶ νόσου οὐκ ἀχάριστα).

F. 210. Περὶ ὁμοζωνούντων ζῳδίων (Εἰσὶ δὲ ἄλλαι μαρτυρίαι — τὴν δύναμιν ἐπὶ παντὸς σχήματος).
Περὶ σχήματος Κρόνου Διὸς καὶ Ἄρεως. — Περὶ τῶν σχημάτων Ἀφροδίτης καὶ Ἑρμοῦ. — Περὶ σχήματος τῆς Σελήνης. — Περὶ στηριγμῶν. — Περὶ δορυφοριῶν. — Περὶ ἐκλογῆς τῆς εἰς πόλεμον ἐξελάσεως κεφάλαιον ἀναγκαιότατον σφόδρα. — F. 212v. Περὶ τῶν τεκμηρίων τοῦ πολέμου (Ὅταν τεκμήριον τῆς καταρχῆς — καὶ κατὰ τὸν τόπον τῆς Σελήνης. —
Cetera ab alia manu conscripta sunt : f. 212v, notula de solis obscuratione; f. 213 περὶ οἰκοδεσποτῶν et περὶ τοῦ ἄρρεν ἢ θῆλιν ἐστὶ [?] τὸ ἐγγάστριον; f. 213v, Ἑρμοῦ τοῦ Τρισμεγίστου περὶ τοῦ συναντῆσαι βασιλεῖ ἢ σουλτάνῳ.
Rursus alia manus f. 214, πὸς διερήσκει τὸ πλάτος τῶν πόλεων, πῶς διερίσκειν τὰ μήκι τῶν πόλεων; f. 215v, περὶ τῶν ιβ' ζῳδίων; f. 216v, notulae chronologicae.

5. Cod. philos. gr. 15. — Chartaceus, saec. XV, cm. 33 × 23, ff. 212. — Cf. Nessel, p. 14; Lambecius, VII, 549 (cui est n. 137).

F. 1. Ῥητορίου ἔκθεσις καὶ ἐπίλυσις περί τε τῶν προειρημένων δώδεκα ζῳδίων καὶ περὶ ἑτέρων διαφόρων ἐκ τῶν Ἀντιόχου θησαυρῶν. Prooemium excipiunt capita sedecim, quorum ultimum est περὶ ἀνταναλύσεως [n. 31, Boll in *Catal.*, I, 158]. Deinde est in f. 6 inscriptio : Ἐξήγησις τῶν ἐν τοῖς ἀποτελέσμασι ὀνομάτων ut in prima Bollii familia, des. f. 6v οἱ δὲ ἡμερινοὶ ὑπόγειοι = p. 159, 29 B. Deinde f. 7 Περὶ τῶν χρήσεων τῶν κέντρων καὶ τῶν ἐπαναφορῶν καὶ τῶν ἀποκλιμάτων ut *a p q* et cap. 47 eadem modo inscriptum quo in *a p q;* in fine extat Τέλος τῶν τοῦ Ῥητορίου.

F. 7v. Tabula qua exhibentur Μῆνες Ῥωμαίων et Μῆνες Ἀρράβων cum duabus adnotationibus.

F. 8. Εἰ βούλει γνῶναι ἐν οἱῳδηποτοῦν τόπῳ καθ' ἑκάστην ἡμέραν πόσας μοίρας ὑψοῦται ὁ Ἥλιος — [f. 8v] ἐν τῇ βασιλίδι τῶν πόλεων μοίρας κβ' καὶ λεπτὰ πρῶτα νδ' ἔγγιστα.

6. Cod. philos. gr. 37. — Chartaceus, saec. XV/XVI, cm. 31 × 21, ff. 290. — Cf. Nessel, p. 26 sq.; Lambecius, VII, p. 249 (cui est n. 70). — Ad nos pertinent folia 247-290.

F. 247-248. Index capitum ρλε'; ad implendum spatium notae de tempore diei inveniendo et de χρυσογραφίᾳ adiectae sunt.

F. 248v. α'. Περὶ διαθέματος (Τῆς οὐρανίας διαθέσεως — περὶ διαθέματος λέξομεν). Cf. cod. Flor. 8, f. 213, ubi Hephaestioni tribuitur, et cod. Venet. 7, f. 382.

β'. Περὶ θεματίου (Θεμάτιον τοίνυν λέγεται — [f. 249v] ἐπὶ τὸ μεσουράνημα). Cf. ibid.
<γ'>. Περὶ δωδεκατημορίου καὶ ὁρίζοντος (Ἕκαστον δὲ ζῴδιον — τὸ δῦνον διαδείκνυται). Cf. ibid.
δ'. Περὶ τοῦ ποῖα τῶν ζωδίων ἀποκεκλήρωται ἕκαστος τῶν πλανήτων (Ἀποκεκλήρωνται δὲ — ὕψωμα δὲ αὐτοῦ ἡ Παρθένος). Cf. cod. Venet., ibid.
ε'. Περὶ τριγώνων πρῶτον (Ἐκ τρίγωνα δὲ οὕτως — ὑδατῶδες καὶ νοτολυβικόν) = cod. Flor. 8, f. 213v, et cod. Venet., ibid.
ς'. Περὶ τῶν ταπεινωμάτων καὶ τῶν ἐναντιωμάτων (Κρόνου ταπείνωμα Κριός etc.). Cf. cod. Venet., ibid.
ζ'. <Περὶ ὁρίων>. Tabula magna, des. f. 250 in verba καὶ κατὰ διάμετρον. Cf. cod. Venet., ibid.
η'. Περὶ τοῦ κατὰ τρίγωνον σχηματισμοῦ (Καὶ κατὰ τρίγωνον μὲν — ἐπὶ τοῖς λοιποῖς ὁμοίως) = cod. Flor. 8, f. 213v, et cod. Venet. 7, f. 382v.
θ'. Περὶ τοῦ κατὰ τετράγωνον σχηματισμοῦ (Κατὰ δὲ τετράγωνον — διὰ μοιρῶν π'). Cf. cod. Flor., f. 214, et cod. Venet., l. c.

F. 250v. ι'. Περὶ δεξιῶν καὶ εὐωνύμων σχημάτων (Δεξιὰ δὲ λέγουσι τρίγωνα — ὑπὸ τοῦ ἐν Ζυγῷ τετραγώνου. Cf. l. c.
ια'. Περὶ ἀκτινοβολίας (Ἀκτινοβολεῖν δὲ — εἴη ὁ διαμετρῶν) = cod. Flor., f. 214v, et cod. Venet., f. 383.
ιβ'. Περὶ ἀσυνδέτων καὶ ἀποστρόφων (Ἀσύνδετα δὲ — ἀλλήλοις). Cf. l. c.
ιγ'. Περὶ ἀρρενικῶν καὶ θηλυκῶν (Καὶ τὰ μὲν τῶν ζῳδίων — [f. 251] μέχρι τοῦ ὡροσκόπου). Cf. l. c.
ιδ'. Περὶ χρηματιστικῶν τόπων = cod. Flor. et cod. Venet., l. c.
ιε'. Περὶ τοῦ τῆς Σελήνης δωδεκατημορίου (Τὸ ιβ' μόριον — καὶ ἐπὶ τῶν λοιπῶν). Cf. l. c.
ις'. Περὶ συναφῆς καὶ ἀπορροίας (Συναφὴ δὲ καὶ ἀπόρροια — καὶ συνάπτεται αὐτῷ). Cf. cod. Flor., f. 215, et cod. Venet., f. 383v.
ιζ'. Περὶ ἀπορροίας (Ἀπόρροια δὲ γίνεται — ἢ καὶ ἑπτά). Cf. l. c.
ιη'. Περὶ στηριγμοῦ (Στηριγμὸς λέγεται — λεπτῷ ἱστάμενος). Cf. l. c.

F. 251v. ιθ'. Περὶ ἀφέτου [pro ἀφαιρέτου] ἤτοι ἀναποδίζοντος (Ἀφέτης δὲ λέγεται — τὰ προηγούμενα). Cf. l. c.
κ'. Περὶ προσθέτου ἤτοι προποδίζοντος (Προσθέτης δὲ πάλιν — ἐπὶ τὰ ἑπόμενα). Cf. l. c.
κα'. Περὶ ὑπαύγου (Ὕπαυγος δὲ λέγεται — καὶ ἀκτῖνας). Cf. l. c.
κβ'. Περὶ φάσεως (Φάσις δὲ λέγεται — ὅταν ἐπὶ δύσεως). Cf. cod. Venet., l. c.

κγ'. Περὶ ἡμερινῶν ἀστέρων (Ἡμερινοὺς δὲ λέγουσιν — οἷς ἂν συσχηματισθείη). Cf. l. c.
κδ'. Περὶ ἀναβιβάζοντος καὶ καταβιβάζοντος (Εἰσὶ δὲ δύο τόποι — ὁ δὲ καταβιβάζων Ω). Cf. l. c.
κε'. Περὶ οἰκοδεσποτίας = cod. Flor., f. 215; cod. Venet., f. 384.
κς'. Περὶ ἀέρων καὶ ἐπισημασιῶν (Περὶ δὲ ἀέρων — [f. 252] τὴν τοῦ ἀέρος κατάστασιν). Cf. ibid., cap. κς'.
κζ'. Περὶ ἐξάλματος (Ἔξαλμα τοίνυν — τὴν γένεσιν ἐκείνου). Cf. ibid., cap. κζ'.
Summa etiam in sequentibus cum codice Venet. 7 congruentia, quae ea tantum re turbatur, quod caput λγ' cod. Venet. hic in tredecim capita dividitur; nam post inscriptionem περὶ τῆς τῶν ζῳδίων διαιρέσεως sequuntur λδ'. Περὶ Κριοῦ — με'. Περὶ Ἰχθύων et subditur adnotatio : Ἡφαιστίωνος. Ἐπὶ πάσης τοίνυν καταρχῆς — ἑκάστη προγνώσει. Ergo quod in Veneto est λδ', hic est μς'. In capite ξε' [= νγ' cod. Venet.] lacuna relicta est et adnotatur : οὕτως εἶχεν. Cap. ϛα' [= οη' cod. Venet.] est Σχόλια ἐκ τῶν Δημοφίλου. Inter ρς' et ρη' [= ϛγ' et ϛδ' cod. Venet.] inseritur in f. 272. ρζ'. Περὶ τῶν ἀπὸ τῶν ἄστρων σημασιῶν (Ἐπεὶ δὲ καὶ ἀστέρες — χελιδόνες ἐπιφαίνονται [est calendarium tempestatis signa exhibens]). In cap. ρκγ' [= ρι' cod. Venet.] lacuna et in marg. : λείπει ἴσως φύλλα τρία. Post ρκς' [= ριγ' cod. Venet.] sequitur ρκζ'. Κλαυδίου Πτολεμαίου βιβλίον ὁ καρπός f. 286-288. — ρκη'. Ἐπιστολὴ Πετοσίρεος [= ριδ' cod. Venet.]. Textus desinit in cap. <ρλ'> Ψῆφος διαγνωστική etc. [= ρις' cod. Venet.] f. 290 in verbis Ζωὴ σκότος θάνατος. Index praeterea exhibet ρλα'-ρλη' [= ριζ'-ρκα' cod. Venet.]. — Μέθοδος ἀληθὴς καὶ εὔκολος εἰς τὸ γνῶναι τὴν ὥραν τῆς ἡμέρας, quae in Venet. est cap. ρκβ', hic post indicem ad explendum spatium vacuum additur.

7. Cod. philos. gr. 190. — Chartaceus, saec. XV, cm. 22 × 16, ff. 307. — Cf. Nessel, p. 107 sqq.; Lambecius, VII, 511 (cui est n. 129). — Haec fere continet ad nos pertinentia :

F. 64. Περὶ νεφέλης καὶ χαλάζης.
F. 65. Περὶ ἀστραπῆς.
F. 65v. Περὶ τοῦ οὐρανίου σώματος.
F. 70. Tabula τῶν πολευόντων.
F. 70v. Κανόνιον περὶ τῶν πολευόντων καὶ διεπόντων ἀστέρων εἰς εὐσύνοπτον δήλωσιν — [f. 71] τὴν καταρχὴν ποιεῖσθαι.
Περὶ ὡροσκόπου (Τῆς [scr. τὴν] δὲ τῆς Σελήνης — [f. 71v] συμβαίνειν τυγχάνει).

F. 72. Ἀρχὴ τοῦ ὡρολογίου τῶν ιβ' μηνῶν.
F. 73. Περὶ φλεβοτομίας.
F. 73v. Ἀγαθαὶ ἡμέραι ἃς ἔδειξεν ὁ θεὸς τῷ Ἔσδρα τῷ ἱερεῖ. Cf. cod. 12, f. 119.
F. 74. Ἑτέρα μέθοδος σεληνιακὴ περὶ τῆς Σελήνης προγνώσεων Μελάμπους τοῦ ἀστρολόγου. Editum in *Catal.*, IV, p. 110, cf. supra, p. 34[1].
Περὶ τῶν ζ' πλανήτων (Φασὶν γοῦν οἱ ἀποτελεσματικοὶ — στέγην ταυτότητος) = cod.3, f. 102v. Editum in *Catal.*,IV, p. 114.
F. 75. Περὶ τῶν ἀνακυκλισμῶν etc. = cod. 3, f. 103.
F. 81v. Κανόνιον τῶν δ' ἀνέμων καὶ τῶν κδ' βαθμῶν. Tabula cum adnotationibus.
F. 82. Σελήνη ἐὰν συνοδεύουσα τῷ Κρόνῳ ἐναντία εἰς πᾶν πρᾶγμα — [f. 83] καὶ Σκορπίου καὶ Ὑδροχόου.
Sine titulo. Χρὴ δὲ καὶ τοῦτο παρατηρεῖν ὡς ἐπὶ πάσης καταρχῆς — ὁ Κρόνος ἔχει οἶκον τὸν Αἰγόκερων καὶ τὸν Ὑδροχόον).
Περὶ τῶν ζ' πλανωμένων ἐν ἐπιτομῇ ἐκ τῶν Ἀντιόχου (Ὁ Κρόνος ἄρχειν λέγεται — ὑψοῦσθαι λέγονται).
F. 83v. Περὶ τῶν ιβ' ζῳδίων καὶ τῶν ζ' πλανήτων καὶ τῶν συνεργουσῶν αὐτῶν (*sic*) βοτανῶν (Ὁ ζῳδιακὸς κύκλος μεμορφωμένος ἐστίν — [f. 84] ἕδρας πυραικτωμένου ἱᾶται). Ex Ptolem., *Tetrab.*, cf. cod. Neapol. 19, f. 387v.
Ἐπίσκεψις τῶν ζῳδίων ἀκριβὴς Πτολεμαίου.
F. 85v. Ἕτερον σχῆμα σφαιρικὸν Πτολεμαίου decanos illustrans.
F. 85. Τοῦ σοφωτάτου ἰατροῦ κυρίου Γεωργίου τοῦ Χρυσοκόκη ἐξήγησις εἰς τὴν σύνταξιν τῶν Περσῶν ἐκτεθεῖσα πρὸς τὸν αὐτοῦ ἀδελφὸν κυρὸν Ἰωάννην τὸν Χασανίτην (Πάλαι μου καὶ αὐτὸς ὡς οἶσθα — [f. 137v] ἀλλὰ κατ' ἐμὴν εἴρηται δύναμιν). Cf. *Catal.*, IV, cod. Taurin. 2, f. 3.
F. 138 sqq. Varia astronomica, velut f. 141v de annis Persarum, f. 148v de duodecim signis, f. 149v κανόνιον τῶν ἀπλανῶν ἀστέρων ἐκτεθειμένον ἐν ἔτει ,ϛωνδ' ἀπὸ κτίσεως κόσμου, Περσῶν δὲ φιε' [p. Chr. 1345]. Cf. supra, cod. 1, f. 30.

8. Cod. philos. gr. 287. — Chartaceus, saec. XV/XVI, cm. 20 × 14, ff. 191. — Cf. Nessel, p, 142; Lambecius, VII, p. 585 (cui est n. 145). — Maxima eius pars, sc. f. 38-178, aut e codice Flor. 7 aut ex eius gemello descripta est.

F. 1-37 Achmetis oneirocriticon. Edidit Rigaltius, Parisiis 1603.
F. 38 [perforatum] incipit in medio enuntiato in descriptione Arietis; est Hephaestionis, cap. I, 1 paullum immutatum, des. [f. 47] ἡ ἀπάγξεται καὶ οὐδὲ ταφῆς ἀξιωθήσεται = p. 67, 17, Engelbr. Cf. cod. Flor. 7, f. 99.
<β'.> Ἐν οἷς τόποις χαίρουσιν οἱ ἀστέρες et deinde pergit

prorsus ut cod. Flor. 7, f. 106 ita tamen, ut hic capita numerentur. Caput ις'. Περὶ οἰκοδεσποτίας τῶν πλανωμένων des. [f. 52ᵛ] in verba τοῦ τόπου τῆς ἐκλείψεως; tum ιζ'. Θεωρηθέντων δὲ οὕτως τῶν εἰς τὴν αἰτίαν — [f. 53ᵛ] διόπερ ἀφείσθωσαν. Tum Περὶ δὲ τῶν ε' πλανωμένων ἐκθησόμεθα — [f. 54] καθ' ἑκάστου ζωδ' καὶ κλίμα. Sequitur κγ' [!]. Περὶ χρόνων ζωῆς (Ἐκτίθησι — [f. 55] φθορὰν τῶν ἐν τῇ δύσει) = cod. Flor., f. 120 et cetera excerpta Hephaestionea eodem fere ordine quo in cod. Flor. κγ' est περὶ γονέων, sed etiam sequentia complectitur, κδ'. Περὶ τύχης ἀξιωμάτων. — λε'. Περὶ χρόνων διαιρέσεως [= cod. Flor., f. 131]. — λς'-λη'. Περὶ τοῦ ἐνιαυτοῦ, περὶ μηνός, περὶ ἡμέρας. — λθ'-μς'. Διαίρεσις τῆς χρονοκρατορίας. — <μζ'.> [f. 96] Πῶς δεῖ σκέπτεσθαι τὰς μεταφορὰς = cod. Flor., f. 140.

F. 105. <μη'>. Θεοφίλου περὶ καταρχῶν prorsus ut in cod. Flor. Sed caput νγ'. Περὶ μηνὸς κατὰ τὸν Νεχεψώ, f. 115-116 initium quidem idem habet, desinit autem in verba καὶ βιοθανάτους γίνεσθαι ut cod. Flor., f. 152ᵛ. Caput οε'. Πῶς ἄν τις γνοίη... [= cod. Flor., f. 159] — [f. 130ᵛ] des. in media sententia ἀγαθοποιοῖς· ἢ ἤωτου [?] ὡροσκόπου.

F. 131-168 manus altera, charta diversa.
ριθ'. Περὶ ἀπωλείας πράγματος etc. prorsus ut cod. Flor., f. 179ᵛ, cum quo etiam in sequentibus plane congruit, nisi quod caput ρκζ'. (Ἀνάκρισις ἐκ τῆς τῶν ἀστέρων συγκράσεως [= cod. Flor., f. 186ᵛ]) cum f. 147ᵛ in media sententia desinit excipiturque in f. 148 reliquiis capitis ρλθ'. Ἐάν τις πεπόρνευκεν [= cod. Flor., f. 189ᵛ]. Inter caput Περὶ μετοχῆς et Περὶ δεσποτείας [= cod. Flor., f. 195] extat ρξγ'. Περὶ ἀνταναλύσεως (Ἀντανάλυσις δέ ἐστιν — ὑπάρχωσι μὴ χρηματίζοντες).

F. 169-181 manus tertia, quae ipsa quoque codicem Florentinum vel eius gemellum transcripsit usque ad eius f. 210ᵛ Ἐφοδος τῶν κατὰ μέρος ἐπισημασιῶν, cuius extrema verba in extremo f. 178ᵛ extant.

F. 179 sine titulo. Περὶ ταῦτα δὲ μάλιστα γίνεται ἡ μεγίστη σκέψις, sequitur enumeratio κλήρων plenissima, quae des. f. 180ᵛ κλῆρος δεσποτῶν ἀπὸ Ἑρμοῦ ἐπὶ Ἥλιον καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου.

F. 181. Ἄλλο (Σελήνη χωρίς τινος ἀστέρος πλανωμένου — ὅσα βαστάζει ἀφαιρεθήσεται).
Ἄλλο (Ἀπὸ ὡροσκόπου ἐπὶ Σελήνην — εὑρεθήσεται ὁ δραπέτης). Deinde spatium vacuum.

F. 182. Περὶ διαφορᾶς λίθων ἐν συντόμῳ (Λημνία σφραγὶς ἐπὶ τῶν κακῶν — [des. f. 191ᵛ in media sententia] Περὶ Μεμφίτου λίθου· λίθος Μεμφίτης ἐν Αἰγύπτῳ· οὗτος εὑρίσκεται κα...). Deest apud de Mély, *Les lapidaires grecs*, 1898.

9. Cod. hist. gr. 113. — Chartaceus, saec. XVI, cm. 21 × 15, ff. 175. — Cf. Nessel, p. 158; Kollarii, suppl., p. 550, cod. 87.

Post nonnullas paginas vacuas in f. 153ᵛ manus recentior haec scripsit : Τὰ δώδεκα ζῴδια. Κριῷ Βρετανίαι Γαλατία Γερμανία — Ταυρῷ Γασαμῶν Γαραμαντική. Ex Ptolem., *Tetrab.*, II, 5.

10. Cod. hist. gr. 122. — Chartaceus, saec. XVI, cm. 20,5 × 16, ff. 183. — Cf. Nessel, p. 171; Kollarii, suppl., p. 534, cod. 84. — F. 33-103 per se codicem efficiunt. In marg. sup. f. 33 manus recens scripsit : καὶ Παύλου Ἀλεξανδρέως εἰς τὴν ἀποτελεσματικὴν ἐν συνόψει καὶ Μαϊστόρου Ἀπομάσαρ.

F. 33. Τάδε ἔνεστιν ἐν τῷ βιβλίῳ τοῦ Μαϊροτοῦ.[l. τῶν μυστηρίων τοῦ] Ἀπομάσαρ. Index capitum ρνς' pertinens usque ad f. 35ᵛ eadem capita enumerans, quae in cod. Laur. 11 liber primus complectitur. Textus desinit in f. 43ᵛ in capite περὶ κλήρου φακῆς, quod in indice est κα'. Tum folium vacuum.

F. 44. Παύλου Ἀλεξανδρέως εἰσαγωγὴ εἰς τὴν ἀποτελεσματικήν. Des. in f. 58 in capite Περὶ τῆς τῶν ιβ' τόπων [*sic*] in verbis κατὰ τὴν τῶν χρόνων πρόβασιν.

F. 58ᵛ. Εἰ ὁμονοήσουσιν ἀλλήλοις οἱ γαμικῶς συναπτόμενοι (Ὅρα εἰ ὁ κύριος — μέσος) = cod. Venet. 7, f. 267, cap. υοη'.
Περὶ τοῦ πρότερος [*sic*] αὐτῶν προτελευτήσει (Ὅρα τὸν κύριον — [f. 59] χαλεπὰ σημαίνουσιν) = ibid., cap. υοθ'.
Περὶ παλαιᾶς καταθέσεως χρημάτων (Περὶ χρημάτων κεκρυμμένων — [f. 61ᵛ] κινδυνεύει κίνδυνον περὶ ζωῆς).
Περὶ μετοικήσεως ἢ [l. εἰ] συμφέρει μετοικῆσαι ἢ οὔ (Ὅρα τὸν κύριον τοῦ ὡροσκόπου — δηλωτικὸς ἀστήρ) = ibid., f. 267ᵛ, cap. υπ'.
Εἰ συμφέρει ἀποδημῆσαι (Ἐὰν ὁ κύριος τοῦ ὡροσκόπου — [f. 62] ληστὰς καθ' ὁδόν) = ibid., f. 317, cap. χς'.
Περὶ μακρᾶς ἀποδημίας (Περὶ μακρᾶς ἀποδημίας — [f. 64] καὶ ἡ περιουσία αὐτοῦ ἐστι) = ibid., cap. χζ'.
Πότε ἐπανήξει ὁ ἀποδημῶν (Ἐὰν ἐρωτηθῆς πότε — [f. 65] ἐκεῖνο κύριον λέγουσιν) = ibid., f. 318ᵛ, cap. χη'.
Περὶ τοῦ εἰδέναι εἰ νοσεῖν ἢ ὑγιαίνειν [*sic*] ὁ ἀποδημῶν (Ὅρα τὸν δηλωτικὸν — ἀγαθύνεται) = ibid., f. 319, cap. χθ'.

F. 65ᵛ. Περὶ τοῦ εἰδέναι εἰ ζῇ ἢ ἀπέθανεν ὁ ἀποδημῶν (Ἐὰν εὑρεθῇ ὁ δηλωτικός — καὶ καλῶς ἕξειν) = ibid., cap. χι'.
Περὶ δραπετῶν (Τὸν δραπέτην γνωσόμεθα — [f. 67] φανεροῦσιν αὐτόν). Fort. Dorothei, cf. cod. Venet. 6, f. 152ᵛ, cap. λε'.

Περὶ δεσμωτῶν (Ὅρα τὴν Σελήνην — [des. f. 69 in media pagina et sententia] ἐὰν ὁ κύριος τοῦ ὡροσκόπου. [In marg.] τόδε [ex ὧδε ut vid.] εὗρον οὕτως) = cod. Venet. 7, f. 319ᵛ, cap. χια'.

F. 70. Ἡ Ἀφροδίτη καὶ ὁ Κρόνος (Ἀναισχυντίαν εἰς τοὺς ἀνθρώπους — συν<ν>εφία ἀστραπή).

Ὅταν βλέπωσιν οἱ ἀστέρες εἰς (l. εἷς?) τὸν ἕτερον εἰς τελείαν φιλίαν. Ζεὺς καὶ Κρόνος (Αἱ κεφαλαὶ πρὸς ἀλλήλους — [f. 70ᵛ] φιλοσόφων περικάλυψις). Cf. cod. Venet. 7, f. 284-291.

Ὅταν βλέπωσιν οἱ ἀστέρες ἀλλήλους κατὰ διάμετρον. Ὁ Ζεὺς καὶ ὁ Κρόνος (Μέσον τῶν βασιλέων — [f. 71] ἀστραπαὶ καὶ βρονταί).

Sine titulo. (Κρόνος κυριεύσας τῶν ὁρίων τῆς συζυγίας — [f. 74] εὔκρατος ὑγιής). Editum ex cod. Taurin. 4, f. 41ᵛ, in *Catal.*, IV, p. 83 ss.

Sine titulo. (Ἡ Σελήνη τοῦ Ἡλίου ἀπορρέουσα καὶ τῷ ἀναβαίνοντι συνοδεύουσα — [f. 74ᵛ] καὶ ζημίαν τῶν ἐμπόρων). Cf. cod. Venet. 6, f. 155ᵛ.

Καθολικὰ παραγγέλματα ἀπὸ Σελήνης καὶ ὡροσκόπου· τοῦτο δὲ κεφάλαιον σημαίνει οἵαν ἔξουσιν ἀρχὴν καὶ τέλος τὰ πράγματα (Ἐὰν ἡ Σελήνη συνάπτῃ — [f. 75] σὺν τοῖς κακοποιοῖς) = cod. Taurin. 4, f. 61ᵛ.

Περὶ γραφῆς πιττακίου ἢ χαρτίου καὶ διδαχῆς παιδός (Ἔστω ὁ ὡροσκόπος — ἔχων ἀνατολικήν). Cf. cod. Venet. 7. f. 199ᵛ, cap. τλγ'; cod. Taurin. 4, f. 57.

Περὶ ἐλεύσεως ἢ μετάρσεως ἀπὸ οἴκου εἰς οἶκον (Ἔστω ὡροσκόπος ἀγαθοποιός — ἀγαθὴ καὶ ἄλυπος) = ibid., f. 61.

Περὶ γραφῆς εἰ κομισθήσεται (Ὅρα τὸν Ἑρμῆν — ἄφιξιν δηλοῖ) = ibid., f. 60ᵛ.

F. 75ᵛ. Περὶ τοῦ εὑρεῖν ὄνομα οὑτινος βούλει (Στῆσον τὸν ὡροσκόπον — [f. 76] Σελήνη π' ρ' ι') = cod. Mediol. 23, f. 270.

Περὶ τοῦ γνῶναι εἰ ταχέως ἢ βραδέως ἥξει ὁ ἀποδημῶν καὶ πῶς πράξας ἐπανήξει (Σκέπτου τὸν ὡροσκόπον τῆς ἐξόδου — [f. 76ᵛ] ὡς εἶδες ἀκολούθει).

Περὶ τοῦ εἰ γίνεται τὸ ἐνθυμούμενον (Ἐὰν ὁ κύριος τοῦ ὡροσκόπου — [f. 77] τότε γενήσεται) = cod. Venet. 7, f. 168ᵛ.

Περὶ ἀρρώστων καὶ ἐναποκλείστων (Ἀπὸ τοῦ ὡροσκόπου — λύσιν ἀμφοτέρων δηλοῖ) = cod. Taurin. 4, f. 59ᵛ.

Περὶ θανάτου αὐτῶν (Εἰ ὁ κύριος τοῦ ὡροσκόπου — φυλακῆς τελευτᾷ).

Πότε συμβῇ τινι καλὸν ἢ πονηρόν (Εἴ τις σε ἐρωτήσῃ — [f. 77ᵛ] τότε γένηται).

Περὶ τῶν ἀστέρων καὶ ποῖα σχήματα ἀγαθὰ καὶ ποῖα φαῦλα (Δεῖ εἰδέναι ὅτι οἱ ἑπτά — [f. 78] πολλῶν κακῶν).

Περὶ πράξεως (Ὁ περὶ πράξεως λόγος — [f. 79] ἀμυδροτέραν ποιεῖ). Cf. *Catal. Venet.*, p. 190.

Tum spatium vacuum, in marg. ἕως ὧδε εὗρον καὶ τόδε.

F. 80. Περὶ αἱρέσεως τῶν ἑπτὰ πλανητῶν (Ὁ μὲν Ἥλιος — καὶ λόγον).

Περὶ τοῦ τίνες εἰσὶ φίλοι καὶ τίνες ἐχθροί (Ὁ Ἥλιος ἐστὶν ἐχθρός — ἐν τῷ μεσημβρινῷ).

Περὶ ἀπὸ τῆς [scr. τῆς ἀπὸ] τῶν ἀστέρων μορφώσεως (Ὁ Ζεὺς τοὺς εὐοφθάλμους — [f. 80ᵛ] ἡ δὲ Σελήνη τὸ πράσινον).

Περὶ πέμψεως ἐπιστολῶν (Πέμπω<ν> ἐπιστολάς — ἀποτεύξῃ τοῦ σκοποῦ). Cf. cod. Venet. 7, f. 391ᵛ.

Περὶ φρεάτων ὀρυγῆς καὶ λάκου (Ὀρύσσων λάκκους — τὸ ἔργον) = cod. Venet. 7, f. 180. De hoc cap. et sqq. cf. indicem cod. Venet. 7, cap. ρδ' ss. (*Catal.*, II, p. 69).

F. 81. Περὶ χρόνου ζωῆς καὶ θανάτου ἀπὸ τοῦ βιβλίου τῶν δώδεκα τόπων τοῦ Μασάλα (Εἰ ἐρωτηθῆς περὶ χρόνων ζωῆς — [f. 87] ἐπαινούμενός ἐστι).

Περὶ διαδοχῆς ἐξουσιαστῶν (Ἐὰν ἐρωτηθῆς πότε γίνεται ἡ διαδοχή — [f. 87ᵛ] οὐδὲν ἀνύσεις) = cod. Venet. 6, f. 148ᵛ.

Περὶ τοῦ πότε ἕνι ἀγαθόν τινι ἢ κακόν (Εἶπεν ὁ Μασάλας — ἡ Ἀφροδίτη ἀνὰ η') = cod. Venet. 6, f. 148ᵛ; cod. Neapol. 19, f. 410ᵛ.

Εἰ γίνεται τὸ πρᾶγμα ἢ οὔ (<Ἴ>δε τὴν Σελήνην — [f. 88] ἐν τῷ καταβαίνοντι οὔσης) = cod. Venet. 6, f. 149.

Περὶ τῶν πρὸς τοὺς λοιποὺς ἀστέρας συναφῶν τῆς Σελήνης (Ἡ Σελήνη συπάπτου<σα> τῷ Κρόνῳ — [f. 91] ἐν δὲ τῷ καταβαίνοντι κακίστη).

Περὶ ὡριμαίας (Εἰ τύχῃ τὸν ἀφέτην — καὶ ἁλιεύειν).

<Dorothei> Περὶ κατακλίσεως νόσων (Σκεπτόμενος περὶ νοσημάτων — [f. 91ᵛ] καὶ θανάτου προοίμιον). Cf. cod. Venet. 6, f. 144.

Περὶ ποίων δεσποτῶν [?] τοῦ σώματος ἔσται ἡ νόσος (Ἐκ τῶν ιβ' ζῳδίων — [f. 92ᵛ] γίνεται καὶ ἀναιρεῖ).

F. 93. Περὶ ποίου ἕκαστος τῶν ἀστέρων κυριεύει τῶν θ' μερῶν τοῦ σώματος (Τῶν μὲν ἐντὸς τοῦ ἀνθρώπου — [f. 94] ἡγεμονικῶν γυναικῶν).

Περὶ τῶν ἑπτὰ πλανητῶν τῆς δυνάμεως (Ὁ Κρόνος φύσεώς ἐστι ψυχρᾶς — [f. 94ᵛ] κελεύει ἐγκρίνειν).

Περὶ ἀποκλιμάτων (Τῶν κέντρων — ὡροσκοπούσης).

Ὅσοι παρανατέλλουσι τοῖς προσώποις. Excerptum esse ex Teucro Babylonio suspiceris.

F. 95v. Ψῆφος περὶ ζωῆς καὶ θανάτου (Ληπτέον τῆς κατακλίσεως — [f. 95v] τὰ συναχθέντα). Cf. *Catal.*, IV, cod. Mutin. 11, f. 78.
Περὶ γάμου ἤγουν συζεύξεως.
Περὶ τῶν δώδεκα κομητῶν (Ἐὰν Ἰχθύες περὶ τοῦ Ἡλίου — ὁ δέκατος σάλπιγξ).
Ἀριθμὸς σύντομος τῶν μελλόντων (Ἰστέον ὅτι τὸ Μωυσῆς ὄνομα — [f. 96] ἅμα βρωθήσεται).

Exigua notula de climatis Alexandrini anaphoris ad spatium implendum adiecta.

F. 97. Sine titulo. (Τὸ δι' ἀστρονομίας προγνωστικὸν διαιρεῖται εἰς δύο — [f. 99] ὡς ἐπίπαν λαμβανομένου).

F. 99v. Sine titulo. (Ἐπὶ δὲ τοῦ εἰδικοῦ σκοποῦμεν τοὺς κυρίους — [f. 102v] τῶν ἐκλειπτικῶν τόπων πρὸς ὁπότερον τῶν φώτων).

F. 103. Brevis nota : Ὁ δὲ τῆς γενεθλιαλογικῆς θεωρίας — ἄκουσον δὲ καὶ περὶ τῶν τόπων.

11. Cod. med. gr. 8. — Chartaceus, saec. XV, cm. 31 × 21, ff. 373. — Cf. Nessel, p. 21; Lambecius, VI, p. 237 (cui est n. 19).

F. 294. Προγνωστικὸν ἠκριβωμένον βιωφελὲς καὶ χρήσιμον ἀντιγραφὲν ἐξ Αἰγυπτιακῆς παλαιᾶς βίβλου. Πετώσιρις Νεχεψῶ τῷ τιμιωτάτῳ βασιλεῖ χαίρειν. Edidit ex hoc codice Riess, *Philol.* suppl., VI, p. 383 sqq. Adnexa est tabula exhibens ὑπέργεια ζωῆς et ὑπόγεια θανάτου.

F. 295. Sex circuli signa duodecim diversis anni temporibus diverse adtribuentes.

12. Cod. med. gr. 27. — Chartaceus, saec. XV, cm. 22 × 16, ff. 123. — Cf. Nessel, p. 37; Lambecius, VI, p. 265 (cui est n. 25).

F. 119. Ἔσδρα τοῦ προφήτη περὶ τῶν δώδεκα μηνῶν τὰς ἐπιβαρεῖς ἡμέρας (Μηνὶ Σεπτεβρίῳ γ' — Αὔγουστος δ' καὶ ιε'). Cf. cod. 7, f. 73v.
Περὶ τὰς ἡμέρας τῆς Σελήνης εἰς φλεβοτόμισμα [εἰσεφλεμοτ. cod.] (Εἰς τὰς α' γίνεται κύτρινος — [f. 119v] εἰς τὰς λ' γυρίζει ἡ Σελήνη· φόβον ἔχει τοῦ θανάτου).

13. Cod. med. gr. 49. — Membraneus, saec. XV, cm. 17 × 12, ff. 30, per duas columnas scriptus. — Cf. Nessel, p. 54; Lambecius, VI, p. 200 (cui est n. 4).

F. 22. Κλαυδίου Πτολεμαίου βιβλίον ὁ Καρπός. Des. in f. 30.

14. Cod. theol. gr. 244. — Chartaceus, saec. XV, cm. 21 × 14, ff. 329. — Cf. Nessel, p. 340; Lambecius, V, 545 (cui est n. 297).

F. 144. Ἀρχὴ σὺν θεῷ τῶν μηνῶν... τὸν Ἰχθύν. Ἀρχὴ Μάρτιος (Ὁ γεννηθεὶς νεώτερος — [f. 153] ζήσει ἔτη οβ' ἃς λειτουργεῖ τὴν

ἁγίαν παρασκευή). Editum ex cod. Neapol. 19, f. 518v in *Catal.*, IV, p. 158.

F. 155. Βροντολόγιον σὺν θεῷ ἁγίῳ κατὰ τῆς βροντῆς. (Μηνὶ Φεβρουαρίῳ α' καὶ β' — Αἰγόκερως). Ζῴδιον Ταῦρος (Εἰ ἐν Ταύρῳ βροντήσῃ [pergit ordine miro per Scorpium Sagittarium etc.] — [des. f. 158v] καὶ μάχες καὶ πάσης ἀνδρῶν ἔσονται).

F. 253-259 est Σεληνοδρόμιον.

CODICES AUSTRIACI CETERI

15. Cod. Cracov. bibl. univ. 2363 (A. A. XIII, 20). — Chartaceus, saec. XVI/XVII.

F. 836v-845r. Tres tractatus. Τὸ πρῶτον εἶδος τοῦ καθολικοῦ (Τὸ προγνωστικὸν δι' ἀστρονομίας...). Τὸ δεύτερον εἶδος τοῦ καθολικοῦ (Τῆς οὖν εἰδικωτέρας...). Τὸ τρίτον εἶδος τοῦ καθολικοῦ (Ἐπίσκεψις τῶν ... πρὸς τὸ πλάτος τῆς Σελήνης).

16. Cod. Cracov. bibl. univ. 2526 (F. F. VI, 5). — Chartaceus, saec. XV.

F. 98. Petosiridis philosophi vaticinatio. (Ἐπειδὴ βεβάρηται σοῦ — ἐν τῷ ὑπογείῳ ἀποθνήσκει). Cf. Riess, p. 384.

17. Cod. Nikolsburgensis principis Dietrichstein, II, 241. — Chartaceus, saec. XV.

F. 26-32 Hephaestionis fragmentum continet, quod in Engelbrechtii editione est p. 83, 7 - 89, 24 (Ἀποτελέσματα τῶν γινομένων ἐκλείψεων).

APPENDIX

EXCERPTA E CODICE 1 (PHIL. GR. 108).

F. 79. Formulae magicae.

Μιχαήλ· εἰ βούλει βοήθειαν ὑπὸ ἄνακτος ἢ κοιράνου ἢ τινῶν τῶν ἐκδήμων γράφε ** ἐν ἀγενήτῳ κεμ' μετὰ ἀνὰ μϊ Σελήνης αὐξ(ούσης) καὶ καλοσχηματιζομένης μετὰ ἰδίου ὀνόματος γεγραμμένου· κρατῶν δὲ ταύτην ἕξεις ὃ βούλει.

Εἰ δὲ βούλει ἐν πολέμῳ ἀβλαβὴς εἶναι, νήστευσον ἡμέρας γ'· εἶτα γράψον τὸ σὸν ὄνομα καὶ τοῦ σοῦ πατρὸς καὶ μητρὸς μετὰ τῆς αβ μεθ' αἵματος περιστερᾶς ἀσπίλου λευκῆς καὶ (Μιχαήλ) ἐν χάρτῃ ἀγενήτῳ καὶ φόρει αὐτὸ ὅταν ἀπέρχει ἐν πολέμῳ ἀγνῶς· καὶ οὐ μή σε ἅψηται κακόν.

Εἰ δὲ μέλλεις ἀχθῆναί σε εἰς κριτήριον, γράψον τὸ σὸν ὄνομα εἰς χαρτὶ βεβραϊνον μετὰ κιναβάρεως καὶ τοῦ ἐγκαλοῦντός σε καὶ δέσον ταῦτα εἰς τὸν δεξιόν σου ἀρτί(χριον) καὶ νι(κήσεις).

Εἰ δὲ βούλει ἵνα μή σοι ἅψηται ἐχθρός ποτε μήτε ἐναντίον σοι ποιήσαι, γράψον τὸ ὄνομά σου καὶ τῶν γονέων σου καὶ τὸ ὄνομαν τοῦ ἄρχοντος Μιχαὴλ μετὰ καὶ τῆς αβ' εἰς χαρτὶ παρθένον μεθ' αἵματος ἀλέκτορος ἀσπίλου λευκῆς· χῶσον ἐν γῇ εἰς θύραν πόλεως.

Εἰ δὲ βούλει ἐν σταδίῳ ἢ εἰς πραγματείαν ἔχειν πράσσειν πωλεῖν καὶ ἀγοράζειν ὡς βούλει, γράψον τὸ ὄνομά σου καὶ τοῦ συναλλάκτου σου καὶ τὸ ὄνομαν τῆς πραγματείας μεθ' αἵματος δράκοντος καὶ καρμίας καὶ ῥοδοστάγματος καὶ τὴν αβ' ἐν ἀγενήτῳ βοὸς Σελήνης μειούσης· καὶ ἐνειλήσας ἐν κηρῷ χῶσον εἰς ἔμβασιν σταδίου καὶ θαυμάσεις.

Εἰ δὲ βούλει αὐξυνθῆναι τὰ σὰ χρήματα καὶ μὴ μειοῦσθαι, νήστευσον ἡμέρας γ' Σελήνης αὐξούσης· εἶτα γράψον τὸ ὄνομαν τοῦ χρήματος εἴτε Ἡλίου ἢ Σελήνης ἢ ὁποῖόν ἐστιν μετὰ ζωμὸν μανδραγόρας $\mu^{\chi'}$· εκ (?) ῥοδοστάγματος ἐν δέρμα ἀλώπεκος καὶ τίθει ταύτην (?) ἔνθα εἰσὶν τὰ χρήματα καὶ αὐξυνθήσονται ὁμοίως καὶ τὴν αβ'.

Εἰ δὲ βούλει ἄξαι κέρδη ἐκ ταυλίων ἢ ἑτέρων εἰδῶν Σελήνης ληγούσης, γράφε τὸ σὸν ὄνομα καὶ τὸ ὄνομαν τοῦ εἴδους τῶν ἀβυρ-

2 aliquid abscisum. 6 de aphabeti ad res magicas usu cf. Dieterich *Mus. Rhen.*, LVI, 77; *Catal.*, IV, 146, n. 1. 7 $\mu^{\chi'}$ cod. 28 εἰδῶν] ησῶν ut vid. cod.

μάντων μεθ' αἵματος νυκτερίδος ἐν δέρματι γυπὸς καὶ δέσαι ταῦτα εἰς δέρμα ἐλάφου καὶ βάσταζε ὅταν παίζῃς.

Εἰ δὲ βούλει πλεῦσαι ἀκινδύνως, γράφε τὸ σὸν ὄνομα καὶ τῆς πόλεως ἧς μέλλεις ἐκδημεῖν καὶ τῆς πραγματείας καὶ τοῦ πλοίου μετὰ μέλανος εἰς χαρτὶ βαμβύκινον καὶ χῶσον αὐτὸ εἰς ῥίζαν κλήματος· καὶ τότε πορεύου.

F. 232. μθ'. Πετοσίρεος περὶ συμφώνων τῶν τετραγώνων· θαυμάσιον.

<Υ>πολαμβάνουσι πάντες τὰς τριγώνους πλευρὰς συμφώνους καὶ † διὰ ἡμετέρων καὶ ἀγαθῶν αἰτίας, πεπλάνηνται δέ. αἱ γὰρ τετράγωνοι τὴν μεγίστην ἐνέργειαν ἔχουσιν, ἐάν τε ἀγαθῶν ὦσι δηλωτικαὶ ἐάν τε φαύλων· ἡ δὲ τρίγωνος πολλάκις οὔτε ἀγαθὸν ποιεῖ ἐπηρμένον οὔτε κακόν. πάλιν δὲ τῶν τετραγώνων οἱ δεξιοὶ ἐνεργέστεροι παρὰ τοὺς εὐωνύμους. ἐν δὲ τοῖς διαμέτροις οἱ μὲν κακοποιοί εἰσι χαλεποί, οἱ δὲ ἀγαθοποιοὶ οὐδαμῶς κακοὶ οὔτε αὐτοῖς οὔτε τοῖς φωσὶ διάμετροι. ἐν τούτῳ δὲ τῷ σχήματι Κρόνος καὶ Ἄρης μάλα εἰσὶ κακωτικοί, εἰ δὲ τὸ πράσσειν ἔχοντες ἐστηριγμένοι.

F. 278. ρλβ'. Τοῦ Ἡφαιστίωνος περὶ θησαυροῦ.

Εἰ ἐρωτηθῆς περὶ τόπου, εἰ ἔστιν ἐκεῖ θησαυρός, ἴδε τὸν κύριον τοῦ ὡροσκόπου· καὶ εἰ ἔστιν ἐπίκεντρος ἡ ὑπάρχουσιν ἐν τοῖς κέντροις ἀγαθοποιοί, ἔστιν ἐκεῖ θησαυρός· εἰ δὲ μή, οὐκ ἔστιν. εἰ δὲ βούλει γνῶναι ποῦ ἐστιν, ἴδε τὸν ἐπικρατήτορα ποῦ ἐστιν ἐν ποίῳ μέρος· ἐν γὰρ ἐκείνῳ τῷ μέρει ἐστὶν ὁ θησαυρός. καὶ εἰ μέν ἐστιν ἐν τῷ ὡροσκόπῳ, ἐστὶν ἐν τῷ ἀνατολικῷ μέρει τοῦ οἴκου· εἰ δὲ ἐν τῷ μεσουρανήματι, ἐν τῷ νοτίῳ· εἰ δὲ ἐν τῷ δυτικῷ, ἐν τῇ δύσει· εἰ δὲ ἐν τῷ ὑπὸ γῆν, ἐν τῷ βορείῳ. καὶ εἰ μὲν ἐν στερεῷ ζῳδίῳ ἐστί, κεχωσμένος ἐστὶν ἐν τῇ γῇ. εἰ δὲ ἐν δισώμῳ, ἐν οἰκίᾳ ὡροφωμένῃ· εἰ δὲ ἐν τροπικῷ, ἐν τοίχῳ. καὶ εἰ μέν ἐστιν ὁ ἐπικρατήτωρ καὶ ὁ διέπων ἀνατολικός, ἐστὶ νεωστὶ κεχωσμένος· εἰ δὲ δυτικός, πάλαι περικεκαλυμμένος· εἰ δὲ βούλει ἀκριβῶς καταλαβεῖν τὸν τόπον, ἔνθα ὁ θησαυρὸς κεῖται, ἀνάγνωθι τὸ κεφάλαιον, ὅπερ ἐξέθετο περὶ τούτου ὁ Ἀπομαξὰρ περὶ τὸ τέλος τοῦ βιβλίου αὐτοῦ· ἐμοὶ γὰρ τοῦτο παρελείφθη ἐκεῖσε παρ' αὐτοῦ σαφηνισθέντος.

1 νυκτερίδας cod. 4 ἧς num extet dubium. 5 βαμπίκινον cod. 10 fors. διαμέτρους· αἰτία cod. 15 fort. del. κακοί. 17 del. δέ; scil. si κύριοι τῶν πράξεων sunt. 22 debebat μέρει aut εἰς ποῖον μέρος. 31 vides Hephaestionea nobis tradi per Arabum rivulos. Cf. cod. Neap. 19, f. 408ᵛ. 32 παρελείφθης cod. 33 debebat σαφηνισθέν.

F. 299. ρξδ'. **Exempla geniturarum ex Palcho** [1].

Ἔτους Διοκλητιανοῦ σδ' μηνὶ Θὼθ ζ' ἡμέρᾳ Κρόνου ὥρᾳ ἡμερινῇ πρώτῃ ἠνέχθησάν τινι γράμματα λυπηρὰ ἔχοντα πάντα παρὰ πρόθεσιν τοῦ δεξαμένου· εὑρέθη δὲ ἡ καταρχὴ οὕτως. Ἥλιος ἐν Παρθένῳ μοίραις ι', Σελήνη Ζυγῷ μοίραις δ', Κρόνος ἐν Τοξότῃ μοίραις ε' νς', Ζεὺς ἐν Ζυγῷ μοίραις ζ' νε', Ἄρης Αἰγοκέρωτι η', Ἀφροδίτη ἐν Λέοντι η', Ἑρμῆς ἐν Παρθένῳ κε', ὡροσκόπος Ζυγῷ 0' μα', μεσουράνημα Καρκίνῳ 0' μα', κλῆρος Τύχης Ζυγῷ κε', ὁ ἀναβαίνων ἐν

1 Vide deteriorem formam eiusdem geniturae in *Catal.*, I, p. 106. 2 D. 5 Sept. anni 488 p. C. 4 οὗτος V. 5 μοίρας V. sc. adduntur λεπτά (minuta), quod cur fiat et cur in Saturno tantum et Iove et ἀναβαίνοντι fiat nescio. 7 hora est in quadragesimo uno minuto primae partis Librae, medium caelum similiter Cancri; id quod ope numeri qui appellatur " zero „ (" Null „) exprimitur. 8 ἀναβιβάζων?

[1] Codex Parisinus 2419, saec. XV, manu Georgii Midiatae scriptus, easdem geniturae fere praebet ff. 131 ss. atque hic codex Vindobonensis, scilicet :

F. 131, λα'. Περὶ σαβάνου ἀπολωλότως (*sic*) καὶ πῶς ἐξῆς εὑρέθη. — F. 132, λδ'. Περὶ καταρχῆς λέοντος μικροῦ ἀποσταλέντος εἰ ἄρα ἡμερωθήσεται. — λε'. Ἑτέρα καταρχὴ ὅτε εἰσῆλθεν Αὐγουστάλιος ἐν Ἀλεξανδρείᾳ, οὗτος καλῶς ἄρξας καὶ εὐθυνείαν (*sic*) ποιήσας καὶ ἄκλοπος ὢν καὶ φιλαλήθεις (*sic*) καὶ μαρτυρηθὴς (*sic*) ὑπὸ τῆς πόλεως ταχέως διεδέχθη μεθ' ὕβρεως καὶ ζημίας ὡς ὁ κλέψας. — F. 132ᵛ, λς'. Ἑτέρα καταρχὴ τοῦ αὐτοῦ πρὸς τὴν γενομένην ἐρώτησιν περί τινος ἐν Σμύρνῃ, περὶ πλοίου προσδοκωμένου ἐλθεῖν ἀπὸ Ἀλεξανδρείας καὶ μὴ ἐλθόντος.

Quattuor codicis Parisini et sex primas codicis Vindobonensis (v. supra p. 14) geniturae ad eundem referendas esse auctorem cum ex temporum notis tum ex tota earum forma apparet. Quis autem auctor ille sit, codex Angelicanus 29, f. 105 ss., nos docet, ubi geniturae secunda, tertia, quarta libri Parisini, tertia, quarta, quinta, sexta libri Vindobonensis cum aliis eiusdem generis inter Palchi collectanea inveniuntur (quae in *Catal.*, I, p. 100 ss. edita sunt). Cum vero prima et secunda cod. Vindobon., i. e. secunda et tertia Parisini, in Angelicano desint, inde efficitur, quod iam suspicari poteramus, codicem Angelicanum, qui solus nobis Palchi opus tradidit (nam ceteri omnes ab eo pendent), illud haud integrum servasse. Immo tanta in illo est rerum perturbatio ut excerptor byzantinus ex veteris astrologi libro tantum hinc atque illinc capita quibus oblectabatur transcripsisse videatur.

Subiungimus collationem geniturae tertiae codicis Parisini (f. 132) cum *Catal. Flor.*, p. 100. Orthographica negleximus.

Titulum vide supra. 3 οὗτως. 4 μαρτυρηθῆς. 5 ὡς ὁ κλέψας. ἔτους] ἔτι. σβ' omis. 6 ὥρας. τῆς ἡμέρας ὁ Ἥλιος εἰς τοὺς Ἰχθύας κς' ἡ Σελήνη εἰς τὸν ♑ κζ' ac sic deinceps. 7-8 ὁ Ἑρμῆς ἐν ♐ κγ' ἡ Ἀφροδίτη ἐν ♐ ιβ'. 10 κλῆρος Τύχης ἐν. ὥρα] ὥρ(οσ)κ(όπος). ὁρονομοῦντος καὶ ἰδιοθρονοῦντος.

P. 101, 1 τοὺς - πόλεως omis. 2 εὑρήσεις. 3 ζήτει. 4 εὑρήσει] καί. 5 ἐν παισὶν τῶν ἐκλειπτικῶν ἐκπεπτωκότως (*sic*) ὡς. 6 παρεσκεύασεν ὡρ(οσ)κ(οπῶν) Ἄρης Δ$^{\lambda\tau}$ (δηλονότι?). 7 τροπικοῖς ζῳδίοις καὶ ὀλιγαναφορᾶς. ἐμπεπτωκότες. 8 καὶ omis. 9 πρώτερον ὁ κύρ. τοῦ κλ. τῆς τύχης ἀποκεκληκὸς καὶ Ἄρης τοῦ πο$^{\lambda}$ ἐποίησεν 10 τῆς πόλεως] τοῦ πο$^{\lambda}$. 11 αὐτοῦ. F. C.

Σκορπίῳ β' κδ'. καὶ εὕρομεν τὸν Δία μοιρικῶς ὡρονομοῦντα καὶ τὴν Ἀφροδίτην κυρίαν τουτέστιν τοῦ ὡροσκόπου, τὴν Σελήνην καὶ τὸν Δία καὶ τὸν κλῆρον τῆς Τύχης ἀγαθοδαιμονοῦντας καὶ ἑῴαν ἀνατολικὴν καὶ τοῖς ἀριθμοῖς προστεθέντας καὶ δεκατεύουσαν τὴν τριταίαν Σελήνην καὶ τὸ δωδεκατημόριον αὐτοῦ Σκορπίῳ τετυχηκός· καὶ τὸν διέποντα τῆς ὥρας τὸν Δία [ἤτοι] προσθετικῶς ὡρονομοῦντα. εἶπον συναπαχθεὶς διὰ ταῦτα τὰ σχήματα καλὴν ἔχειν φάσιν τὰ γράμματα ἃ δὴ τὸ ἐναντίον περιεῖχον. σκοπήσας γὰρ μετὰ ταῦτα ἀκριβῶς τὴν καταρχὴν εὗρον τὴν μὲν Ἀφροδίτην τὴν οἰκοδεσπότιν τῆς καταρχῆς μηδένα λόγον ἔχουσαν εἰς τὸν ὡροσκόπον· καὶ τὴν Σελήνην καὶ τὸν Δία καὶ τὸν κλῆρον τῆς Τύχης διὰ τὸ μεσεμβολεῖσθαι αὐτοὺς ὑπὸ Ἄρεος, καθώς φησιν ὁ Δωρόθεος. εὗρον δὲ τὸν Ἄρεα καὶ τὸν Κρόνον ἐμπεριέχοντας τὸν Ἑρμῆν καὶ τὸν ὡροσκόπον καὶ τὴν Σελήνην καὶ τὸν Δία, καθὼς διδάσκει ὁ Ἀντίγονος· ἀλλὰ δὴ καὶ τὸ μεσουράνημα διεμέτρει Ἄρης παραιρέτης ὤν. ἀναγκαῖον οὖν ἐστιν ἐπὶ πάσης καταρχῆς ζητεῖν καὶ τὰς μεσεμβολὰς Ἡλίου καὶ τῶν ἀστέρων καὶ τὰς ἐμπεριοχὰς τοῦ ὡροσκόπου καὶ τῆς Σελήνης καὶ τοῦ ἀστέρος τοῦ λόγον ἔχοντος εἰς τὴν οἰκοδεσποτίαν τῆς καταρχῆς· οὐ γὰρ μόνον ὡροσκόπος καὶ ἡ Σελήνη ἐμπεριείχετο ὑπὸ Κρόνου καὶ Ἄρεος, ἀλλὰ καὶ ἡ Ἀφροδίτη τὸν πλείονα λόγον ἔχουσα εἰς τὴν καταρχὴν Ἄρεος· εἰ μὲν γὰρ διεμέτρει τὸν Ζυγὸν καὶ Κρόνος ἐτετραγώνιζε τὴν Παρθένον, εὑρέθησαν ἂν πάντες οἱ ἀστέρες σχεδὸν ἐμπεριεχόμενοι ὑπὸ τῶν δύο κακοποιῶν. τούτου τοῦ σχήματος μέμνηται Ἀντιγόνος ἐν τῇ ἕκτῃ γενέσει τοῦ τρίτου βιβλίου· εἰ δὲ καὶ τὸ κατ' εἶδος ζητεῖς, ὅρα τὸν Ἑρμῆν βλαπτόμενον ὑπὸ Κρόνου καὶ ἐν τῷ ιβ' τόπῳ κείμενον.

Ἑτέρα καταρχὴ περὶ σαβάνου ἀπολωλότος παιδίσκης.

Ἔτους Διοκλετιανοῦ ϙϛ', Θὼθ πρώτῃ ἡμέρᾳ † δευτέρᾳ ὥρᾳ νυκτὸς δ', ὁ Ἥλιος ἐν Παρθένῳ μοίραις ιδ', ἡ Σελήνη Ἰχθύσι θ', Κρόνος Παρθένῳ ια', Ζεὺς Τοξότῃ κς', Ἄρης Ζυγῷ κ', Ἀφροδίτη ἐν Παρ-

2 fort. del. τουτέστιν. 3 haec misere turbata sunt; certe ante ἑῴαν excidit τὴν Ἀφροδίτην, ergo scr. προστιθεῖσαν et αὐτῆς Σκορπίῳ : est enim Veneris dodecatemorium in Scorpii parte 14. 5 τετυχηκότως V. 6 ὡρ(οσκόπου) V. προσθετικὸς V. ὡρωνομούντα V. οἶπον V. 7 ἔχει V. 8 δεῖ V. 9 οἰκοδεσποτίαν V. 10 ἔχουσα V. cum inter Solem et Lunam partes sint XXIV eaeque numerandae sint ab horoscopo, Fortunae sors est in Librae parte XXIV; Mars autem in Sagittarii p. VIII positus radium tetragonum mittit in Librae p. VIII, dirimit igitur (μεσεμβολεῖ) Fortunae sortem a Luna et Iove. 13 Saturni radius tetragonus incidit in Scorpii p. V, Martis trigonus in Librae p. VIII, ἐμπεριέχουσιν horam Mercurium Lunam Iovem (etiam Solem, quem tamen omittit). 15 παραιρέτης i. e. παρ' αἵρεσιν, nam Mars nocte gaudet. 19 εμπεριειτο V. 20 ἔχουσαν V. malim καταρχήν· εἰ μὲν γὰρ <Ἄρης>. 26 Cod. Paris. 2419, f. 131ᵛ contulit Cumont, cf. titulum supra p. 63, n. 1. ἀπωτος V. 27 β' V : δη (i. e. τετάρτη) P, depravatum ex nota stellae. ὥρᾳ β' τῆς νυκτὸς P. 28 μοίραις omis. P. ἐν Ιχθύσι θ', ὁ Κρόνος ἐν Παρθένῳ ια', ὁ Ζεὺς ἐν Τοξότῃ κς' ac sic deinceps P.

θένῳ κδ', Ἑρμῆς Λέοντι ιη', ὡροσκόπος Ταύρῳ κη', μεσουράνημα Ὑδροχόῳ <ιδ'>, ἀναβαίνων Κριῷ, κλῆρος Τύχης Σκορπίῳ. ὁ μὲν κλῆρος τῆς Τύχης ἐν τῷ δυτικῷ ἐμπεσὼν ἐσήμαινε τὴν ἐρώτησιν περὶ ἀφανοῦς πράγματος· τὸ δὲ τὰ φῶτα ἐπιθεωρεῖν τὸν ὡροσκόπον καὶ τὸν κύριον αὐτοῦ ἐσήμαινε οἰκοθεν τὸν κλέπτην καὶ οὐκ ἐξώτερον· τὸ δὲ τὴν Σελήνην συνάπτειν ἀπὸ πανσελήνου Κρόνῳ ἑσπερίῳ δυτικῷ ὄντι ἐσήμαινεν τὸν κλέπτην γέροντα. ἐπεὶ οὖν καὶ εἰς οἶκον Ἑρμοῦ ἦν ὁ Κρόνος, ὅτι καὶ γραμματισμένος ἦν ὁ κλέπτης καὶ πανοῦργος καὶ τῇ ὁμιλίᾳ παρεμποδιζόμενος. πάλιν καὶ τὰ ὅρια τῆς Σελήνης ἐδήλουν, ὅτι γυναικεῖόν ἐστι τὸ κλαπέν, ἡ δὲ κυρία τῶν ὁρίων τῆς Σελήνης καὶ τοῦ ὡροσκόπου ταπεινουμένη ἐδήλου καὶ τὴν ἀπολέσασαν ταπεινὴν ἢ δούλην καὶ τὸ ἀπολόμενον παλαιὸν καὶ οἰκτρὸν διὰ τὸ καὶ ἑσπερίαν αὐτὴν φάσιν πεποιηκέναι. τὴν δὲ εὕρεσιν τούτου ἐποίησεν τὰ σχήματα ταῦτα. πρώτη ἡ Σελήνη φερομένη ἐπὶ τὸν οἰκοδέκτορα αὐτῆς καὶ ἐπιβλέπουσα τὸν κύριον τοῦ κλήρου τῆς Τύχης Ἄρεα καὶ τὴν τούτου ὁμοίωσιν· καὶ ὁ Ἥλιος ἀπὸ τριγώνου βλέπων τὸν ὡροσκόπον καὶ κατὰ ἐξάγωνον τὴν Τύχην καὶ κατὰ συμπαρουσίαν τὴν κυρίαν τοῦ ὡροσκόπου καὶ τῆς Σελήνης διαμετρῶν κατὰ πάντα τὰ σχήματα τὴν εὕρεσιν ἐποιήσατο ταχεῖαν· διὰ δὲ τὸ τὴν κυρίαν τοῦ ὡροσκόπου ἐν ἰδίῳ τριγώνῳ τετυχηκέναι καὶ τὸν οἰκοδέκτορα τῆς Σελήνης ἐν ἰδίῳ οἴκῳ ἐν αὐτῷ τῷ οἴκῳ ἐποίησαν γεγενῆσθαι τὴν εὕρεσιν. [ὑπερβοηθεῖ γάρ]

Περὶ λέοντος μικροῦ εἰ ἡμερωθήσεται[1].

<Ἔτει Διοκλητιανοῦ ϙθ'>, Ἐπιφὶ δ', ὥρᾳ ἡμερινῇ α', ὁ Ἥλιος ἐν Ζυγῷ ιη', Σελήνη Ὑδροχόῳ ι', Κρόνος Σκορπίῳ ια', Ζεὺς Διδύμοις ιθ',

1 ≏ μ' P. ὡρ(οσ)κ(οπῶν) ὁ Ταῦρος μοι. κη' P. 2 numerum supplevi ex figura appicta. ὁ ἀναβιβάζων ἐν Κριῷ P. 3 ἐσήμανεν ἐν τῷ δυτικῷ ἐμπεσών P. 4 Sol videt horam, Luna Venerem horae dominam. 5 ἐσήμανεν P. 6 συνάπτον P V. ἑπερίῳ V. 7 ὄντι omis V. ἐσήμανεν P. ἐστιν ὁ ♄ P. 8 ὅτι καὶ omis. P. 9 Piscium p. I-XII fines sunt Veneris quae ταπεινοῦται in Virgine. 10 ἐστὶ omis. V. 11 ἀπολέσαντα PV. 12 ἀπολωμένον P. 14 αὐτοῖς P. 15 Luna nunc quidem Martem non videt, at in Cancro posita videbit; quid ὁμοίωσις sit nescio nec ὁμόρησιν latere existimo. 15 τοῦ κλ. τῆς τ. κύριον P. 18 διαμετρῶν κατὰ] διαμετροῦντα V : διαμετρεῖ ταύτα πάντα P. 19 ἐποιήσατο V : δηλοῖ P. 21 ὑπερβ. γὰρ omis. V. 22 Codicem P(arisinum) 2419, f. 132, contulit Cumont. ἡμερωθῆ V. π. καταρχῆς λ. μ. τοῦ ἀποσταλέντος εἰ ἄρα ἡμερωθήσεται P. 23 Ἔτει - ϙθ' suppl. ex P. d. 28 Iunii a. 483 p. C. ὥρα κ' τῆς ἡμέρας P. 24 Σελήνη τὸν Ὑδροχοον ι'. ὁ Κρόνος ἐν Σκορπίω ια' ac sic deinceps P.

[1] Notus est Λέων ὁ μικρός, filius Zenonis et Areadnes, qui anno 473 regnum adeptus parvulus obiit, sed hic non de homine agitur cui nomen erat Leo, sed de bestia ad ludos circenses vel potius ad oblectamentum consulis (v. 15) qui τὸ θηριοτροφεῖν in deliciis habebat, missa. Talia haud raro apud astrologos occurrunt; v. Manil., IV, 235 (*Quibus in bifero centauri corpore sors est Nascendi concessa, lubet... Exorare tigres, rabiem auferre leoni*), cf. Manil., V, 700; Firmic. Mat., VIII, 17; Friedländer, *Sittengesch.*, II⁶, p. 402.

Ἄρης Ζυγῷ ς', Ἀφροδίτη Λέοντι ζ', Ἑρμῆς Καρκίνῳ ιη', ὡροσκόπος Λέοντι β', μεσουράνημα Κριῷ κδ', ἀναβαίνων Αἰγόκερῳ κγ', πανσέληνος Αἰγόκερῳ ια', κλῆρος Τύχης Ὑδροχόῳ κθ'. ὁ μὲν ὡροσκόπος ἐσήμαινε τὴν φύσιν τοῦ ζῳδίου· ἀλλὰ δὴ καὶ τὰ δωδεκατημόρια τοῦ ὡροσκόπου καὶ Ἡλίου καὶ Σελήνης καὶ Ἄρεος εἰς [τὰ] τετράποδα ζῷα ἐμπεπτωκότα ἐδήλουν περὶ τετραπόδων τὴν καταρχήν· ἡ δὲ Ἀφροδίτη ὡρονομοῦσα καὶ Ζεὺς ἀγαθοδαιμονῶν καὶ τὴν συναφὴν τῆς Σελήνης ἐκδεχόμενος ἐδήλουν τὴν ἡμερότητα· μάλιστα ἡ τρίτη τῆς Σελήνης καὶ ἡ ἑβδομαία ἀπὸ Ἀφροδίτης. ταῦτα πάντα ἐδήλου ὡς ἡμερωθήσεται καὶ μετὰ ἀνθρώπων ἀνατραφήσεται· τὸ δὲ τὴν Σελήνην τῷ δυτικῷ τετυχηκέναι καὶ τὸν κλῆρον τῆς Τύχης ἐδήλου, ὅτι καὶ ξενιτεύσει πλοῖ διὰ τὸ κάθυγρον εἶναι τὸ δυτικὸν ζῴδιον· τὸ δὲ τὴν Σελήνην ἀπερρευκέναι τῆς Ἀφροδίτης καὶ τῷ Διὶ συνάπτειν τὰς τύχας συνῆπτε τοῦ τε ἀποστείλαντος καὶ τοῦ ὑποδεξαμένου· ὁ γὰρ ἀποστείλας αὐτὸ πρὸς ὑπατίαν ἦν καὶ ὁ δεξάμενος ὕπατος.

<Καταρχὴ Λεοντίου στεφθέντος ἐν Ἀντιοχείᾳ>[1].

Ἔτους Διοκλητιανοῦ ** μηνὶ Ἐπιφὶ κδ' † ἡμέρᾳ ἀρχομένῃ ια' Ἥλιος ἐν Καρκίνῳ κγ', Σελήνη Σκορπίῳ ζ', Κρόνος Σκορπίῳ ιε', Ζεὺς Καρκίνῳ ε', Ἄρης Καρκίνῳ κ', Ἀφροδίτη Διδύμοις κς', Ἑρμῆς Λέοντι ιθ', ὡροσκόπος Καρκίνῳ κγ', μεσουράνημα Κριῷ, ἀναβαίνων Αἰγόκερῳ ιδ', σύνοδος Καρκίνῳ, κλῆρος Τύχης Σκορπίῳ ιζ', δαίμων Κριῷ, ὕψωμα Κριῷ. πολὺ ἐφάντασε τοὺς τὴν καταρχὴν δεδωκότας ἡ τοῦ Ἡλίου καὶ τοῦ Ἄρεος καὶ τοῦ Διὸς <καὶ τοῦ> ὡροσκόπου καὶ <τῆς> ἐπαναφορᾶς τοῦ Ἑρμοῦ <συμπαρουσία> καὶ τὸ ἀγαθοτυχεῖν τὴν Σελήνην πρὸς Κρόνον καὶ Δία. ἀλλ' οὐ προσέσχον πρῶτον τὸν πολεύοντα καὶ διέποντα Ἑρμῆν εἰς πάθος ἐμπεπτωκότα· καὶ γὰρ μεγίστην ἀπόστασιν

3 καὶ ὁ μὲν P. 4 ἐσήμανεν P. τὸ ιβ' μόριαν V. 5 ὁ Ἥλιος καὶ ἡ Σελήνη καὶ ὁ Ἄρης V duodecatemorium horae est in Leone, Martis in Sagittario, Solis Lunaeque in Tauro, quae sunt quadrupedia (Maximus ed. Ludw., p. 108, 3). τὰ om. P. 6 ἐμπεπτωκότον V, -κότες P. τραπόδον V. 8 ἐνδεχώμενος P. ἐδήλου V. ἡμερώτηταν καὶ μάλλισθα P. 9 ευδομαία P V, non intelligo. ἔκδηλον P. 11 ἐδήλουν P. 12 καθύγραν V. τὴν Ἀφρ. P. 13 τὸ Διὶ συνάπτον P V. 13-14 τοῦ ἀποσταλέντος P. 14 τω ὑποδ. V : τοῦ δεξαυένου P. αὐτὸν P. 16 Titulum ex Angelicano supplevi, qui aliam formam huius geniturae praebet (cf. *Catal.*, I. p. 107). 17 μῆν V. ἡμέρᾳ] ἑρμούσα V. An <ἡμέρᾳ> Ἑρμοῦ, ὥρᾳ ἀρχομένῃ ια'. 22 ἐφάντασε " decepit „. τοὺς] τὰς V. 23 ἐπαναφορά V, cf. *Catal.*, I, 107, 10. 24 ἀγαθοτυχὴν V.

[1] De Leontio qui anno 483, ut videtur, Tarsi coronatus mox Antiochiam intravit, cf. *Catal.*, I, p. 107, n. 1; Ahrens et Krüger, *Die sog. Kirchengesch. des Zacharirs Rhetor*, p. 71, 80, 98, 269. Plura inveniuntur in vita patriarchae Severi, ab eodem Zacharia conscripta, a Spanuth syriace edita (Göttingen, 1893), cuius gallica versio propediem vulgabitur.

ἀπεῖχε τοῦ Ἡλίου καὶ ὑπὸ Κρόνου μόνου ἐθεωρεῖτο· ὃ καὶ βιαιοθάνατον ἀπετέλει. οὔτε γὰρ ἡ Ἀφροδίτη ἠδύνατο θεραπεῦσαι τὸ πάθος· ἐμεσεμβόλει γὰρ αὐτοὺς ὁ Ἥλιος. καὶ πάλιν ἐσκόπησα τὴν Σελήνην κυρίαν οὖσαν τοῦ Ἡλίου καὶ τοῦ ὡροσκόπου καὶ Διὸς καὶ Ἄρεος καὶ τῆς συνόδου ταπεινουμένην καὶ κακοδαιμονοῦσαν. ἵνα δὲ μηδὲν τούτων τῶν σχημάτων ὑπάρχῃ, οὐκ ἤρκει πρὸς καθαίρεσιν τὸ τὸν Ἥλιον καὶ τὸν ὡροσκόπον καὶ τὸν Δία τετυχηκέναι. πῶς δὲ παρῆλθεν αὐτοὺς καὶ τὸ κεφάλαιον Δωροθέου; ἔνθα λέγει·

δέρκεο δ' Ἠέλιόν τε μέγαν κραιπνήν τε Σελήνην
ἠδ' οἴκων βασιλῆας, ἐν οἷς δύο φῶτα βέβηκεν,
ὡρονόμον δ' ἐπὶ τοῖσι, καὶ αἰθέρος ἀκροτάτοιο
ζῷον ὅτι ψαύει μέσον οὐρανὸν ἀμφιπολεῦον,
καὶ Μήνη τίνα † τούτων ἔχει τόπον ἠδ' ὅτις αὐτῆς
ἔστιν ἄναξ. ἦν δ' οὗτος ἀποκλιμάτεσσιν ἐνείη,
αὐτή τ' <ἐν> κέντροισιν, ἐνὶ πρώτοισι μὲν ἔργον
εὐαντὲς λαμπρόν τε φανήσεται· αὐτὰρ ἔπειτα
ψεύσεται † οἱ ὅμιον, τὸ δέ οἱ τέλος ἐξαπολεῖται.

3 τη V. 5 ταποινουμένη V. 6 τὸ] τε ut vid. V. 7 fuitne <ἐν ταὐτῷ> τέτυχ.? 9 διελιῶν V. μέγα κραιπύ τε V. 11 καὶ θέρος ἀκροτάτοις V. 13 τίνα num extet dubium; non quadrat Μήνην, εἰ τοῦτον. τούτου coni. Ludwich (*Progr. Königsb.*, 1899). ἠδότης V. 14 ἀποκλιμάτευσιν V. 15 αὐτὴ τε Angelic. 16 εὖ γ' ἄντε αὐτὰρ ἔπ. V. 17 possis v. g. εὐοδέον. ἐν μεσάτοις coni. Ludwich.

Imperatoris Hadriani genitura.

F. 301 ex cap. ρξδ', § VII. — Ἡφαιστίωνος ἀπὸ τοῦ τρίτου αὐτοῦ βιβλίου. Σκεπτέον δὲ τὰς γενέσεις οὕτως ὡς ἐκτίθεται καὶ † γέννυσια τὰ ἕκαστα διίξομεν, ὅφρα δαείης.

Φέρε δὴ καὶ ἐνταῦθα προσθῶμεν τὸν τρόπον, καθ' ὃν καὶ ἄλλοι ἐπισκέπτονται τὰς γενέσεις οἱ περὶ Πετόσιριν καὶ Νεχεψὼ καὶ ἐξ αὐτῶν Ἀντίγονος ὁ Νικαεύς[1].

Ἐγένετο, φησίν, τὶς ἔχων τὸν μὲν Ἥλιον Ὑδροχόῳ μοίρᾳ η', τὴν δὲ Σελήνην καὶ τὸν Δία καὶ τὸν ὡροσκόπον τοὺς τρεῖς ἐπὶ τῆς πρώτης

Edidimus ex V(indobon.) et P(aris.) 2417, f. 106, quem contulit Cumont. 2 σκέπτονται V. 3 καὶ γέννυσια - τὰς γενέσεις om. V. an γένεσιν? 4 τόπον P. 5 nempe <καὶ> οἱ περὶ. 6 αὐτῶν τῶν P. ἀντίγων V, post νικαεὺς ὕστερον· περὶ γενεθλίου θαυμάσιον add. V. 7 μὲν om. V. 8 τοὺς τρεῖς om. V.

[1] De Antigono Nicaeno cf. Philologus 1897, p. 125; Riess, Pauly-Wissowa, I, 2442. Hoc themate probatur eum post mortem Hadriani (138 p. C.) scripsisse; a Porphyrio autem laudatur (*Isagog.*, p. 201) unde apparet eum exeunte saeculo II aut ineunte III floruisse. Geniturarum memorabilium plures libros collegisse videtur (supra p. 64, 25, ἐν τῇ ἕκτῃ γενέσει τοῦ τρίτου βιβλίου), unde Hephaestio hanc simul cum alia (v. finem) excerpsit.

μοίρας τοῦ αὐτοῦ ζῳδίου Ὑδροχόου· τὸν δὲ Κρόνον Αἰγόκερῳ μοίρᾳ ις', καὶ τὸν Ἑρμῆν μετ' αὐτοῦ μοίρᾳ ιβ'· τὴν δὲ Ἀφροδίτην Ἰχθύσι μοίρᾳ ιβ' τὸν δὲ Ἄρεα μετ' αὐτῆς μοίρᾳ κβ', τὸ δὲ μεσουράνημα Σκορπίῳ μοίρᾳ κβ'. — Ἐν τῷδε τῷ διαθέματι ὁ οἰκοδεσπότης τῆς Σελήνης Κρόνος ἐν ἰδίῳ οἴκῳ τυχὼν δίδωσιν τὰ τέλεια αὐτοῦ ἔτη ζωῆς νς'· ἐπειδὴ καὶ ἡ Ἀφροδίτη αὐτῷ μαρτυρεῖ, δίδωσι καὶ ἕτερα ἔτη η', ὡς εἶναι τὰ ὅλα ἔτη ξδ'. μετὰ ἔτος ξα' μῆνας ι' φθάνει ἡ μοῖρα τοῦ ὡροσκόπου καὶ ἡ Σελήνη εἰς τὸ τετράγωνον τοῦ Κρόνου, ὅπερ καὶ οὐκ ἀναιρεῖ διὰ τὸ μαρτυρεῖν αὐτῷ τὴν Ἀφροδίτην ἐν τῷ δευτέρῳ. ὁ τοιοῦτος, περὶ οὗ <τὸ> καταγραφὲν θεμάτιον, υἱοθετηθεὶς ὑπό τινος αὐτοκράτορος συγγενοῦς αὐτῷ καὶ αὐτῷ παραμείνας ἔτη β' αὐτοκράτωρ ἐγένετο καὶ αὐτὸς φρόνιμος καὶ πεπαιδευμένος, ὥστε καὶ ἐτιμήθη ναοῖς καὶ τεμένεσι· καὶ γυναικὶ μιᾷ συζευχθεὶς ἀπὸ παρθενίας ἐγένετο ἄτεκνος· καὶ ἀδελφὴν μίαν ἔσχεν· ἐν ἀπονοίᾳ δὲ καὶ στάσει ἐγένετο πρὸς τοὺς ἰδίους. περὶ δὲ ξγ' ἔτος γενόμενος τελευτᾷ ὑδρωπικὸς δυσπνοίᾳ περιπεσών.— Διὰ τί δὲ ἐν τούτοις ἐγένετο, ἐπεξεργάζεται οὕτως. γέγονε δὴ αὐτοκράτωρ οὗτος διὰ τὰ δύο φῶτα τὰ ὄντα ἐπὶ τοῦ ὡροσκόπου καὶ μάλιστα διὰ τὴν Σελήνην οὖσαν τῆς αἱρέσεως καὶ συνάπτουσαν μοιρικῶς τῷ τε ὡροσκόπῳ καὶ τῷ Διὶ μέλλοντι καὶ αὐτῷ ἐῷαν φάσιν ποιήσασθαι μετὰ ἡμέρας ζ'. καὶ αὐτῶν τῶν δορυφορούντων αὐτῇ ἀστέρων οἰκείως εὑρεθέντων, τῆς μὲν Ἀφροδίτης ἐν οἰκείῳ ὑψώματι, τοῦ δὲ Ἄρεως ἐν ἰδίῳ τριγώνῳ καὶ ἰδίαις μοίραις τὴν στάσιν ἔχοντος, ἀμφοτέρων ἰδιοτοπούντων καὶ ἐπαναφερομένων τῇ Σελήνῃ· προσέτι δὲ καὶ τοῦ κοσμοκράτορος Ἡλίου δορυφοροῦντος αὐτῇ ἐν ταῖς ἓξῆς αὐτῆς μοίραις καὶ αὐτοῦ δορυφορουμένου παρά τε τοῦ Κρόνου ὄντος ἐν τῷ ἰδίῳ οἴκῳ καὶ Ἑρμοῦ, ἀμφοτέρων ὄντων ἐπὶ ἑῴας ἀνατολῆς. ἐπισημαντέον δὲ ὅτι καὶ ἡ Σελήνη ἔμελλε συνάπτειν λαμπρῷ τινι τῶν ἀπλανῶν ἀστέ-

1 Ὑδροχόου om. V. ις' V, ι' P. 2 τὸν δὲ pro καὶ τὸν P. μετ' αὐτοῦ P, ἐν αὐτῷ V. τὴν δὲ - ιβ' om. V. μετ' αὐτῆς P, Ἰχθύσι V. 3 τὸ δὲ P, καὶ τὸ V. 4 μοίρᾳ κβ' om. V sed in figura adpicta est in parte XXIV. ἐν τῷδε - ν. 9 δευτέρῳ om. P. 5 annos LVII ponere debebat. 6 ratiocinatio obscura. 8 τὸ] τὸν V. 9 alter locus sunt Pisces. δευτέρῳ om. P. περὶ - θεμάτιον om. P. 11 συγγενοὺς αὐτὸς P, om. V; de adfinitate quae fuit inter Hadrianum et Traianum cf. v. Rohden, Pauly-Wissowa, I. 497. καὶ αὐτῷ παραμείνας ἔτη β' V: περὶ μοίρας β' ἔτος ὁμοίως P; numerus corruptus vid., fort. κ' (98-117 p. C. n.). 12 αὐτὸς om. P. πεπ. καὶ ὡς θεὸς ἐτιμήθην P. 13 ἐγίνετο P. 14 soror erat Domitia Paulina. 15 ἔτη γινόμενος P; de morbo et annis eadem Dio LXIX c. 20-23. 15-16 ὑδρωπικῇ δυσπνία πεσών P. 17 τὰ ὄντα om. V, τῇ ὥρα P. 18 οὖσαν σελήνην P. τῇ τε ὥρα P. 19 αὐτὸν P. 20 ἑπτὰ ἡμέρας P. ἐ αὐτῶν V: αὐτῶν P. ἀστέρες V. Lunae satellites sunt stellae sequentes, Solis praecedentes; cf. Bouché-Leclerq, 253. 21 ἰδίῳ ὑ. ὑπαρχούσης P. 22 ἐν ἰδίαις P. 23 ἰδιοτροπούντων P; et Venus et Mars in suis constituti sunt finibus. τῇ ☾ P: τῷ δευτέρῳ V : προσέτι καὶ ὁ κοσμοκράτωρ ἥλιος δορυφορῶν (?) αὐτ(ῇ) ὢν ἐν P. 25 αὐτὸς δορυφορούμενος P. 27 ἡ ☾ P: ὁ ♄ V. λαμπρῶς V. ἀστέρων om. P. stellae lucidae sunt in dextro Aquarii pede et in umeris.

ρων τῷ ἐπὶ τῆς κ' μοίρας· οὐ γὰρ μόνον ἐπὶ τῶν πλανωμένων ἀστέρων τὴν συναφὴν τῆς Σελήνης δεῖ σκοπεῖν, ἀλλὰ καὶ ἐπὶ τῶν ἀπλανῶν. Εὐμεγέθης δὲ καὶ ἀνδρεῖος καὶ εὔχαρις ἐγένετο διὰ τὸ τὰ δύο φῶτα κεκεντρῶσθαι μάλιστα ἐπὶ τοῦ ὡροσκόπου καὶ ἐν ἀνθρωποειδεῖ καὶ ἀρρενικῷ εἶναι ζῳδίῳ· φρόνιμος δὲ καὶ πεπαιδευμένος καὶ βαθὺς ὑπῆρχεν διὰ τὸ τὸν Ἑρμῆν μετὰ τοῦ Κρόνου ἐπὶ ἑῴας φάσεως ἐν τῷ ιβ' ζῳδίῳ τυγχάνειν καὶ δορυφορεῖν τὸν Ἥλιον· καὶ ἐκ νέας ἡλικίας τοιοῦτος ἀπετελέσθη διὰ τὴν φάσιν· ἀεὶ γὰρ αἱ μὲν ἑῷοι ἀνατολαὶ ἐκ νεότητος ποιοῦσιν, αἱ δὲ ἑσπέριοι ἐπὶ προβάσεως δηλοῦσι τὰς πράξεις. δεῖ δὲ σκοπεῖν καὶ τοῦ κατὰ κορυφὴν τόπου τὸν κύριον, εἰ καλῶς κεῖται καὶ ὁρᾷ τὸν τόπον· ἀνατολικὸς γὰρ ὢν ἐπισήμους καὶ ἐμπράκτους καὶ δυσκαταγωνίστους ποιεῖ· καὶ ἑσπέριος δέ, εἰ ᾖ καλῶς κείμενος, ὥσπερ ἐπὶ τοῦ προειρημένου θέματος, ὁ κύριος τοῦ Σκορπίου ὁ Ἄρης ἀκάκωτος ὢν ἐν Ἰχθύσιν τῷ ἰδίῳ τριγώνῳ καὶ ταῖς ἰδίαις μοίραις καὶ ὁρῶν τὸν κατὰ κορυφὴν τόπον. ἐὰν δὲ κακῶς κεῖται ὁ τοῦ κατὰ κορυφὴν τόπου κύριος, τὰ ἐναντία ποιεῖ. ἐὰν δέ ποτε οἱ τῶν ἀχρηματίστων τόπων δεσπόται ἐπὶ τῶν χρηματιστικῶν τόπων τύχωσι, μετριότητα βίου δηλοῦσιν. τὸ δὲ δοξαστικὸν καὶ μεγαλόφρον καὶ δωρητικὸν καὶ ἀνυστικὸν ὁ τοῦ Διὸς παρέσχεν ὢν ἐν τῷ ὡροσκόπῳ, καὶ δορυφορῶν τὸν Ἥλιον καὶ ὁμόκεντρος ὢν τῇ Σελήνῃ· ἡ δὲ αἰτία τοῦ πολλοὺς ἀντιδίκους καὶ ἐπιβούλους ἐσχηκέναι ἐγένετο ἐκ τοῦ τὰ δύο φῶτα τὴν δύναμιν παρέχοντα ἐμπεριέχεσθαι ὑπὸ τῶν δύο κακοποιῶν, τοῦ μὲν Κρόνου ὄντος ἐπὶ τῆς ἑῴας ἀνατολῆς καὶ δορυφορίας, τοῦ δὲ Ἄρεος ἐπὶ τῆς ἑσπερίας.

Τὸ δὲ περιγενέσθαι τὸ ἔχθος τῶν τοιούτων συνέβαινε μάλιστα διὰ τὸν Ἑρμῆν ἐν Κρόνου οἴκῳ ὄντα μετὰ Κρόνου καὶ ἐν τῷ ιβ' τυγχάνειν ἀμφοτέρους. τὸ δὲ τιμᾶσθαι αὐτὸν καὶ προσκυνεῖσθαι παρὰ πάντων συνέβη διὰ τὸ τὸν τοῦ Διὸς ἀστέρα ἐπίκεντρον ὄντα δορυφορεῖν τὸν Ἥλιον· ὁ γὰρ ἀεὶ οὕτως δορυφορῶν τὸν Ἥλιον καὶ τὴν Σελήνην ποιεῖ ὑπὸ τὴν † ὁμότητα ἢ καὶ κρειττόνων δοξάζεσθαι καὶ δορυφορεῖσθαι καὶ προσκυνεῖσθαι· καὶ τὸ εὐεργετικὸν δὲ ἔσχεν διὰ τὸν Δία οὕτως τυχόντα· τὸ δὲ καὶ πολλοὺς οὕτως εὐεργετεῖν καὶ ὑπὸ πολλῶν, ὡς ἔφην, προσκυνεῖσθαι συνέβη διὰ τὴν τοῦ Ἡλίου καὶ τῆς Σελήνης

1-2 ἐπὶ τῶν - ἀπλανῶν om. P. 3 τὸ om. V. 4 ἐν om. V. 5 φρόνι (*sic*) V¹. δὲ om. P. 6 τὸν] τὸν τοῦ P. μετὰ ☿ post φάσεως habet P. 9 παρατάσεως V. 10 Medii caeli dominus est Mars. 12 κἂν ἑ. δὲ εἴη P. 13 ὁ Ἄρης V, Ἄρης καὶ P. 16 ποτε τῶν χρηματιστῶν τόπων δεσπ. τύχωσι, μετριότητας V, μεριότητα P. 18 τὸ γὰρ δοξαστικῶν καὶ μεγαλόφρων P. 19 ἀνυστικὸν τοῦ προκειμένου διαθέματος P. 20 τοῦ P, τοὺς V. 21 τὰ iterat P, fort. φῶτα τὰ. 22 περιέχοντα ἐμπ. P. 23 τὸν δὲ ♐ τὸν δὲ ♑ V. 25 In verbis τὸ δὲ πε des. V, adnotatum rubr. γύρισον πρὸς ἄλλον φίλον [pro ἄλλο φύλλον]. περιγενέσθαι τὸ ἔχθος] Antoninus vix a senatu impetrare potuit ne memoria patris adoptivi damnaretur. τὸν τοιούτων cod. 28 τό superscr. cod. 30 an τῶν ὁμοτίμων? 32 τυχόντας cod. 33 συνέβη προσκυνεῖσθαι cod.

στάσιν ἐπίκεντρον δορυφορεῖσθαι οἰκείως παρὰ τῶν ε' πλανωμένων· πάντοτε γὰρ Ἥλιος <ἢ> καὶ Σελήνη ἢ καὶ ἀμφότεροι μάλιστα περὶ τὰ πρακτικὰ κέντρα τυχόντες, τούτεστι τὸ ὡροσκοπικὸν ἢ τὸ μεσουράνημα, καὶ κατὰ τρόπον ὑπὸ πάντων τῶν ἀστέρων δορυφορούμενοι ποιοῦσι τοὺς ἐπὶ τοιαύτης καταστάσεως γινομένους βασιλέας παμπόλλων ἐθνῶν κρατοῦντας· Ἑρμῆς δὲ καὶ Κρόνος ἐν τῷ ιβ' τυχόντες ἐπὶ ἑῴας ἀνατολῆς καὶ δορυφοροῦντες τὸν Ἥλιον ποιοῦσι φρόνιμον πεπαιδευμένον καὶ μᾶλλον οὐκ ἀγαθοθελῆ ἀλλὰ δολερόν. τὸν δὲ τοιοῦτον συνέβη μιᾷ γυναικὶ συζευχθῆναι ἀπὸ παρθενίας οὐ διὰ τὴν Ἀφροδίτην ἐνταῦθα, ἀλλὰ διὰ τὴν Σελήνην ὑπὸ τὰς αὐγὰς τοῦ Ἡλίου φερομένην. καθολικῶς δέ σοι νοείσθω ἐπὶ παντὸς θέματος ἐπὰν ἡ Ἀφροδίτη ἐπί τινος κέντρου τύχῃ ἢ ἐπαναφορᾶς, ἡ δὲ Ἀφροδίτη τῇ Σελήνῃ συναφὴν ποιεῖται καὶ ἕτεροι ἀστέρες συμπαρατετεύχωσι τῇ Ἀφροδίτῃ ἢ καὶ ἐπιμαρτυρῶσιν αὐτῇ τοὺς γάμους περιποιεῖ τῶν οὕτως γενομένων· ἐὰν δὲ μόνη ἡ Σελήνη τῇ Ἀφροδίτῃ τὴν συναφὴν ποιεῖται, μονογαμίας ἐστὶ δηλωτική· ἐὰν δὲ καὶ ἡ Σελήνη μήτε τῇ Ἀφροδίτῃ συνάπτει μήτε μήν τινι τῶν συνόντων αὐτῇ ἢ καὶ συμμαρτυρούντων, ἐπὶ φάσιν δὲ φορῆται συνοδικὴν ἢ καὶ πανσεληνιακήν, αὐτὴ δὲ ἡ Ἀφροδίτη σύν τινι ἀστέρι παρῇ, καὶ οὕτως μονογάμους ποιεῖ ὥσπερ ἐπὶ τῆς προκειμένης γενέσεως· καὶ ὁ τῆς μοναδελφίας τρόπος τῶν οὕτω γενομένων κατὰ τὸ ὅμοιον ἐκ τῆς συναφῆς τῆς Σελήνης ἀποδειχθήσεται· εἰ γὰρ Σελήνη μόνῳ τῷ τοῦ Διὸς συνῆψε μέχρι τῆς πρὸς τὸν Ἥλιον φάσεως *** εἰ δὲ καὶ πλείοσι τὴν συναφὴν ἐπεποίητο ἤτοι κατὰ κόλλησιν ἢ καὶ ἐπιμαρτύρησιν, καὶ πλείονας ἂν ἀδελφοὺς εἶχεν· ὅσοι γὰρ ἔχουσιν ἐπὶ γενέσεως τὴν Σελήνην μέχρι τινὸς φάσεως συνάπτουσάν τισιν ἀστράσιν, τοσούτους ἀδελφοὺς ἔξουσιν οἱ οὕτως γενόμενοι. νοείσθω οὖν σοι καὶ τοῦτο ὡς [τὸ] κατὰ τὴν τῆς Σελήνης συναφὴν τῶν μὲν ἀγαθοποιῶν διδόντων ἀδελφούς, τῶν δὲ κακοποιῶν παραιρουμένων· καὶ οἱ μὲν ἀγαθοποιοὶ μερισταὶ ἀγαθῶν ἀδελφῶν γίνονται ἐπὶ τῶν κέντρων ἢ καὶ ἐπὶ τῶν ἀναφορῶν φανέντες, ἐπειδὰν τοῖς φωστῆρσι οἰκείως συμπαρατύχωσιν· οἱ κακοποιοὶ δὲ παραιρέτ(αι) γίγνονται ὅταν καὶ αὐτοὶ ἀνοικείως τοῖς φωστῆρσι συμπαρατύχωσιν· ἐπιβλεπτέον δὲ καὶ τὰς τῶν ζῳδίων διαφοράς, ἐπειδήπερ ἐὰν τύχῃ δίσωμα ἢ τροπικὰ ἢ καὶ πολύσπερμα τὰ τὸν ἀδελφικὸν λόγον παρέχοντα πολλαδελφίας γίγνονται αἴτια.

Διὰ τί δὲ οὐχὶ ἄρρενα ἀδελφὸν δέδωκεν ἡ Σελήνη συνάπτουσα τῷ τοῦ Διὸς ἀρρενικῷ ὄντι; διότι ὁ Ἥλιος ὡροσκοπῶν ἐν ἀρρενικῷ ζῳδίῳ καὶ

2 ἢ suppl.; cf. p. 71, v. 13. Ante Σελήνη]Ἥλιος expunctum. 5 βασιλέων cod. 7 φρόνιμον] Inc. f. 102 in codice P transpositum. 12 τὴν Σελήνην cod. 13 ἑτέροι (*sic*) ἀστράσι συνπαρατετευχόσι cod. 14 ἐπιμαρτυροῦσι cod. περιποιεῖ dubium. 18 φάσιν dubium in cod. 19 οὗτος cod. 22 ἡ γὰρ cod. συνῆψαι cod. 23 lacunam signavi. 24 κόλυσιν cod. 26 τούσουτους cod. 27 τὸ del. 32 δὲ corr. : οἱ cod. 34 τὰ τῶν ἀδελφικῶν λόγων cod. 35 πολαδελφίας cod.

τὴν συναφὴν τῆς Σελήνης ἀποδεχόμενος ὡς ἐπὶ τὸ πλεῖστον ἀρρένων σπαναδελφίας αἴτιος γίνεται. τὸ μὲν οὖν ἄτεκνον τοῦτον γεγενῆσθαι, ἡ τοῦ Ἡλίου περὶ τὸ ὡροσκοποῦν στάσις τοῦτο ἀπετέλεσεν· ἀεὶ γὰρ ὁ Ἥλιος ἐπὶ τῶν ἀναφορῶν χρηματίσας ἀτεκνίας αἴτιος γίνεται. διόπερ δὲ ἐν προσκρούσει γέγονε πρὸς τοὺς συγγενεῖς; διὰ τὴν τοῦ Ἑρμοῦ μετὰ Κρόνου στάσιν. τίς δ' ἡ αἰτία τοῦ τὸν τοιοῦτον υἱοποιηθῆναι; ὁ τοῦ Διὸς ὁμόκεντρος τῇ Σελήνῃ φανεὶς ἐν η' ζῳδίῳ. πόθεν δὲ αὐτῷ αἴτιον ἐγίνετο τοῦ ὕδρωπος καὶ δυσπνοίας καὶ θαν(άτῳ) αὐτὸν κακῷ μεταστῆναι τοῦ βίου; διὰ τῶν κακοποιῶν ἐμπεριεχόντων τὰ δύο φῶτα, πάντων τῶν ἀστέρων ἐν καθυγροῖς ζῳδίοις τὴν στάσιν ἐσχηκότων, τοῦ δυτικοῦ ἐν χερσαίῳ ζῳδίῳ ὑπάρχοντος καὶ ὑπὸ τῶν κακοποιῶν ἀνὰ σχῆμ(α) ἐμπεριεχομένου εἴποιμεν ἂν ὅτι ἐκ τῶνδε τὸ αἴτιον τοῦ ὕδρωπος καὶ τὸ τῆς δυσπνοίας πρόδηλον γενέσθαι· ἀεὶ γὰρ οἱ φθοροποιοὶ ἐμπεριέχοντες τὸν Ἥλιον ἢ καὶ Σελήνην ἢ καὶ ἀμφοτέρους κατὰ τὰ κέντρα κακοθανασίας αἴτιοι γίνονται· οὐ μόνον δὲ δεῖ ταῦτα σκοπεῖν ἀλλὰ καὶ τὴν τριταίαν καὶ ἑβδομαίαν καὶ τεσσαρακοσταίαν ἡμέραν' τῆς ἐκτροπῆς, ὥσπερ ἐπὶ τῆς προκειμένης γενέσεως ἐν τῇ τεσσαρακοσταίᾳ ἡμέρᾳ εὑρίσκεται <ἡ> Σελήνη Καρκίνῳ, ὁ δὲ Ἄρης Κριῷ, καὶ συνέβη τοὺς δύο κακοποιοὺς ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὁρᾶν τὴν Σελήνην, Κρόνον μὲν ἐκ διαμέτρου, Ἄρεα δὲ ἐκ δεξιοῦ τετραγώνου· καὶ τοῦτο οὖν κακοθανασίας αὐτῷ αἴτιον γέγονεν. καὶ οὐ μόνον δεῖ τὴν Σελήνην παρατηρεῖν ἐν ταύταις ταῖς ἡμέραις ἀλλὰ καὶ τοὺς ἄλλους ἀστέρας πῶς κεῖνται ὡς ἐπὶ γενέσεως, πόσους [δ'] ὁ τοιοῦτος πληρώσας ζωτικοὺς χρόνους τελευτήσει. αὕτη γὰρ ἀφέτης γίγνεται ἐπὶ τῆς τοῦ ὡροσκόπου μοίρας εὑρεθεῖσα καὶ ὅσαι μοῖραι τοῦ ἀναφορικοῦ ἐπ' αὐτῆς ἕως τῆς τετραγώνου πλευρᾶς, τούτεστι βόρειοι μοῖραι, τοσαῦτα ἔτη βιώσας τελευτήσει· συνάπτουσα δὲ κακοποιοῖς ἐν ταῖς μεταξὺ μοίραις ἢ καὶ τῷ Ἡλίῳ κλιμακτῆρας ποιεῖ.

Τοσαῦτα μὲν ὡς ἐν συντομίᾳ ἐκ τῶν παρὰ τοῖς ἀρχαίοις εἰρημένων ἐκτίθεται ὁ Ἀντίγονος περὶ τῆς πρώτης <γενέσεως>· ἑξῆς καὶ δευτέρας μνημονεύει οὕτως.

Sequitur apud Hephaestionem alia quaedam genitura Antigoni item cum commentario. Eadem exstat in cod. Paris. 2419, s. XV, f. 106, cum titulo Θεμάτιον τοῦ Ἀντιγώνου τοῦ Νικαεὺς (*sic*) περὶ γενέσεως. [F. C. et W. K.]

2 τούτων cod. 3 ὡροσκοποῦν cod. An τὸν ὡροσκόπον? 4 διόπερ] an διὰ τί? 6 τοῦτον τοιούτων cod. 7 An ἐν α' ζῳδίῳ? 8 αὐτῶν cod. 9 et 13 δυσπνίας cod. 9 διότι cod. : διὰ corr. 12 ἂν corr. : δὲ cod. 14 καὶ τὰ cod. 18 ἡ suppl. Incip. f. 109. 23 δ' del. 26 βόρ(εια) μοῖρ(α) α' cod. τοσοῦτα cod. 28 κλημακτῆρας cod. 30 ἀντίγωνος cod. γενέσεως suppl. lac. quinque litt. in cod.

F. 340ᵛ. Excerpta ex Hephaestionis capite II, 10.

Quae sequuntur excerpta admodum decurtata ex capite perlongo, quod in Hephaestionis codice P (Paris. 2417) totum extat, edo ob Dorothei potissimum fragmentum, quoniam hic fasciculus tot alia eiusdem fragmenta continet; sed etiam Porphyrium et Critodemum cuipiam gratum fore spero. Inscriptione εἰς κεφάλαιον ρλε' (praecedit εἰς κεφάλαιον ρ') docemur, ni fallor, haec additamenta esse ad capita praecedentia, alius tamen codicis; nam in hoc quidem ρλε' Dorothei est περὶ δανείου.

Εἰς κεφάλαιον ρλε'· τοῦ Ἡφαιστίωνος. ἐὰν ἐπὶ τῆς ἀποκυήσεως εὑρεθῇ ἡ Σελήνη φερομένη πρὸς τοὺς κακοποιοὺς χωρὶς τῶν ἀγαθῶν, κακῶς τὸ τικτόμενον ἀπόλλυται εἴσω ἡμερῶν ζ'.

Quae Ptolemaei sunt, omitto.

Ἐνταῦθα καὶ ὁ Πορφύριος· ἔστω, φησίν, ὁ Ζεὺς ἐν Καρκίνῳ, Σελήνη δὲ ἀπορεύσασα ἀπ' αὐτοῦ, καὶ φερέσθω ἐπὶ μοῖραν η' τοῦ Λέοντος· ὁ δὲ Ἄρης ἔστω ἐπαναφερόμενος τῇ Σελήνῃ ἐν Παρθένῳ μοίρᾳ η'· τοσοῦτον ζήσεται τὸ γεννηθέν, ὅσαι αἱ μεταξὺ μοῖραι τοῦ Λέοντος ἐπὶ η' μοῖραν τῆς Παρθένου, οὐ μέντοι εἰς ἐνιαυτοὺς λογιζομένων ἀλλ' ἢ μῆνας ἢ ἡμέρας ἢ ὥρας.

Καὶ ὁ Δωρόθεος ἐνταῦθά φησιν· ἀρίθμει καὶ ἐπὶ τῶν νυκτὸς γεννωμένων ἀπὸ Ἄρεως ἐπὶ Κρόνον καὶ τοσαῦτα ἀπὸ ὡροσκόπου ἔκβαλε· καὶ ἐὰν καταλήξῃ εἴς τι ζῴδιον οὗ κυριεύει ὁ Κρόνος ἐπίκεντρος ὤν, ἄτροφον γεννᾶται. ἐπὶ δὲ τῶν ἡμερινῶν ἔμπαλιν ἀπὸ Κρόνου ἐπὶ Ἄρεα καὶ τὰ ἴσα ὁμοίως ἀπὸ τοῦ ὡροσκόπου. καὶ ἐὰν τοῦ τόπου εἰς ὃν καταλήξει ὁ Ἄρης ἐπίκεντρος ὢν κύριος εὑρίσκεται, ἄτροφον ὁμοίως ποιήσει· κἂν Ἄρης <δὲ> κἂν Κρόνος ὑπόγειοι ὦσιν ἐν θηριώδεσι ζωδίοις καὶ τὴν Σελήνην ὁρῶσι, τὸ παραπλήσιον ποιοῦσιν.

Ἐνταῦθα καὶ ὁ Κριτόδημός φησιν· οἱ φωστῆρες ἐν ταῖς ἐσχάταις μοίραις τῶν ζῳδίων ὄντες ἀχρόνους ποιοῦσι· Σελήνη ἐν ἐκλειπτικῷ συνδέσμῳ οὖσα καὶ ὑπὸ Ἡλίου καὶ Ἄρεως ὁρωμένη ἄχρονον ποιεῖ· Σελήνη ἐν τῷ βορείῳ πέρατι ὑπὸ Κρόνου ὁραθεῖσα ἄχρονα ποιεῖ· Σελήνη δύνουσα πληρουμένη μὲν καὶ Ἄρεος ὡροσκοποῦντος, μειουμένη δὲ Κρόνου ἄχρονα ποιεῖ· καὶ ἐὰν ἡ Σελήνη ἀστέρι κακοποιῷ στηρίζοντι συνάψῃ, ὀλιγοχρόνια τὰ τικτόμενα ποιεῖ.

3 ἴσων V. 5 ἐνταῦτα V. 6 ἐπὶ ἓξ μοίρας P. 8 μοίρες V. 11 ἐνταῦτα V. τῶν νυκτὸς] τουκτων V : τῶν νυκτερινῶν P· 17 δὲ add. ex P. 18 περιπλήσιον V. 19 ἐνταυτα V. 23 μὲν P (qui om. καὶ)] δὲ V. 24 Κρόνου P] Κρόνῳ V.

De duodecim signorum decanis.

Tractatus hic insignis est nominibus decanorum a solitis prorsus diversis et characteribus eorum in margine adscriptis, quos in tabula adnexa exhibemus. Simillima sunt quae e cod. Mosqu. 415 et Vindobon. med. gr. 23 edidit Pitra, *Analect. sacr.*, V, 285, simillima sed in rebus singulis dissimilia. Cf. etiam Achmes editus a Bollio, *Catal.*, II, p. 152. — Eadem decanorum nomina et figurae inveniuntur in cod. Paris. 2419, s. XV, f. 38ᵛ ss., cuius scriptor ea κατὰ Χαλδαίων φωνάς, si illum audimus, exhibet; at in hoc libro ordo signorum et imaginum turbatus est; vide praeterea Boll, *Sphaera*, 8, n. 1.

F. 357. Ζῴδιον ὁ Κριός.

Ὁ μὲν πρῶτος δεκανὸς καλεῖται Παρχάμ· γράφεται δὲ ἐν λίθῳ σεληνίτῃ καὶ ὑποτίθεται ῥιζίον βοτάνης πανακίας καὶ φορεῖται· γράφε δὲ καὶ τὸ ὄνομα. καὶ ὅσα ἐν τῇ κεφαλῇ πάθη ἰᾶται. — In marg. ♂.

Ὁ δεύτερος δεκανὸς καλεῖται Οὐαλάχ· γράφεται δὲ ἐν λίθῳ σεληνίτῃ καὶ τὸ ὄνομα καὶ ὑποτίθεται ῥιζίον παιονίας τῆς καὶ ἀλφαονείας καὶ φορεῖται ὑπὸ χρυσοπετάλῳ. ὅσα δὲ πάθη ὀφθαλμῶν ἰᾶται.— In marg. ☉.

Ὁ τρίτος δεκανὸς καλεῖται Δελφαά· γράφεται γοῦν μετὰ ζαφορᾶς καὶ ῥοδοστάγματος ἐν λίθῳ ἰάσπῃ χλωρῷ καὶ ποτίζεται. ἰᾶται πόνον ὀδόντων καὶ λαιμοῦ. — In marg. ♀.

Ζῴδιον ὁ Ταῦρος.

Ὁ πρῶτος δεκανὸς καλεῖται Ζακχάλ· γλύφεται δὲ ἐν λίθῳ ἰασπαχάτῃ καὶ φορεῖται περὶ τὸν τράχηλον· ὠφελεῖ δὲ συναγχικοῖς καὶ κυναγχικοῖς καὶ ὅσα περὶ τὸν τράχηλον πάθη ἰᾶται. — In marg. ☿.

Ὁ δεύτερος δεκανὸς καλεῖται Χουνθά· γλύφεται δὲ ἐν δακτυλίῳ χρυσαργύρῳ καὶ φορεῖται, καὶ ὁ φορῶν ἄνοσος ἔσται ἀπὸ τῶν εἰρημένων παθῶν. εἰ δέ τις πάσχῃ τοιοῦτόν τι πάθος καὶ σφραγίσας κηρὸν παρθένον περιθῇ, ὠφελήσει ἄκρως. — In marg. ☾.

Ὁ τρίτος δεκανὸς καλεῖται Ἀνεσιούμ· γλύφεται οὖν ἐν λίθῳ σεληνίτῃ καὶ τιθέμενος ἐν τῷ φλοιῷ τῆς θύρας ἀνόσους τοὺς διερχομένους καὶ κατοικοῦντας τῶν παθῶν τοῦ τραχήλου φυλάττει· δεῖ ἐπιγράφειν καὶ τὰ ὀνόματα. — In marg. ♄.

Ζῴδιον οἱ Δίδυμοι.

Ὁ πρῶτος δεκανὸς καλεῖται Παρεσχάρτι· γράφεται δὲ μετὰ ζωμοῦ βοτάνης ἠριγέροντος ἐπὶ τὸ πάσχον τι μέρος καὶ ἰᾶται παρευθύς· δεῖ δέ γε καὶ τὸ ὄνομα γράφειν τοῦ νοσοῦντος. — In marg. ♊.

P(arisinum) passim contulimus. 3 ῥιζίου ut vid. cod. 4 adduntur πρόσωπα decanorum i.e. stellae eorum dominium tenentes; cf. Bouché-Leclerq, 228. 13 συναχικοῖς et κιναχικοῖς cod. 16 vides contractam esse orationem; περισθενίων καὶ αὐχένος dominus dicitur in cod. Mosq. 18 περιθεὶς cod. 25 ἠριγίου cod., mutavi dubitanter.



FIGURAE XXXVI DECANORUM.
Signa 9, 18, 27, 36 a bibliopega decisa sunt.

Ὁ δεύτερος δεκανὸς καλεῖται Ἱερασεσὴρ καὶ γράφεται ἐν δέρματι ἐλάφου μεθ' αἵματος οἰκείου καὶ φορείτω· καὶ εἰς οἵαν ὁδὸν ὁρμήσεις φορῶν, εὐκόλως εὐοδοῦται. — In marg. ♐.

Ὁ τρίτος δεκανὸς καλεῖται Ἀνασὰμ Τετήχ· γράφεται δὲ ἐν ὀστράκῳ θαλαττίῳ μεθ' αἵματος ἰχθύος ἁλέβητος καὶ ῥιπτόμενος εἰς ὕδωρ ὁποῖον ἄρα καὶ ἔστι ξηραίνων αὐτὸ θαυμασίως. — In marg. ♋.

Ζῴδιον ὁ Καρκίνος.

Πρῶτος δεκανὸς καλεῖται Σαρχαὰμ Κομφές· γράφεται δὲ ἐν δέρματι ζῴου ὑαίνης καὶ τίθεται ἐν τῷ φλοιῷ τοῦ οἴκου sequuntur signa cryptographica; γράφε δὲ ἐν ἡμέρᾳ Κρόνου καὶ ὥρᾳ αὐτοῦ καὶ τὸ ὄνομα τοῦ ἐχθροῦ. — In marg. ♀.

Δεύτερος δεκανὸς καλεῖται Τενοὺμ Ταυλάχ· γράφεται δὲ ἐν λίθῳ σιδηρίτῃ, καὶ ὁ φορῶν οὐδ' ὅλως ἀλγήσει τὸ σύνολον ἢ μαστοὺς ἢ στέρνα ἢ πλευράς· δεῖ δὲ φορεῖν ἁγνῶς. — In marg. ♃.

Τρίτος δεκανὸς καλεῖται Τρουχὰπ Ἰάλεμ· γλύφεται δὲ λίθῳ ὀνυχίτῃ καὶ ἐπιτιθέμενος κεφαλῇ ἁγνῶς ποιεῖ ὀνείρατα ἀληθῆ περὶ οὗ βούλει θαυμασίως. — In marg. ☾.

Ζῴδιον ὁ Λέων.

Πρῶτος δεκανὸς καλεῖται Σαμπάχ· γράφεται δὲ ἐν λίθῳ ἁρπαθὰ καὶ τὸ ὄνομα τοῦ φοροῦντος καὶ φορεῖται περὶ τὸ στῆθος· ὠφελεῖ γὰρ εἰς ἄκρως καὶ ὅσα ἀπὸ τῆς καρδίας πάθη ἀνθρώποις προσγίνεται. — In marg. ♄.

Δεύτερος δεκανὸς καλεῖται Ἀφὰχ Μπείθ· γλύφεται οὖν ἐν λίθῳ ζωνίτῃ ταῦρος καὶ (Ἀφροδίτης) ἀστὴρ ἐπάνω τῆς αὐτοῦ κεφαλῆς καὶ ὄπισθεν ἡ σφραγὶς αὕτη καὶ κατακλείεται ἐν χρυσῷ δακτυλιδίῳ καὶ φορεῖται· ἐπάγει γὰρ ἡδονὴν τῷ φοροῦντι καὶ προσφιλῆ παρὰ πάντων ἐργάζεται. — In marg. ♌.

Τρίτος δεκανὸς καλεῖται Πανχατάπ· εἰ βούλει γοῦν μετά τινος μάχην συνᾶραι, γράψον τὴν † βούλειν μετὰ μόσχου κρόκου καὶ ῥοδοστάγματος ἐν ζορκαδίῳ χάρτῃ καὶ φόρει εἰς τὸ δεξιὸν μέρος καὶ ἀνίκητος ὀφθήσῃ· ὁμοίως καὶ ἐπὶ δικαστηρίῳ γράψον καὶ τοῦ ἀντιδίκου τὸ ὄνομα. — In marg. ♐.

Ζῴδιον ἡ Παρθένος.

Πρῶτος δεκανὸς καλεῖται Ταλαντὶς Χαρχάμ· γράφεται δὲ ἐν ἀργυρῷ πετάλῳ μετὰ μόσχου κρόκου καὶ ῥοδοστάγματος καὶ ἀποπλυνόμενον μετὰ ῥοδοστάγματος καὶ ποτιζόμενον ὅσα περὶ τὸν στόμαχον καὶ τὴν γαστέρα καὶ τὰ σπλάγχνα πάθη ὠφελεῖ. — In marg. ♑.

5 ἁλάβης appellari solet. 9 τοῦ οἴκου τοῦ ἀχερουσ(ί)ου καὶ ἕως ἡμέρας τρεῖς τελίως χάνεται P. De cryptographia cf. Boll, *Sphaera*, 479. 14 πλευραί cod 20-21 conicias γὰρ ἄκρως ὅσα. 29 fort. ἡνίκα βούλει vel sim.; omis P.

Δεύτερος δεκανὸς καλεῖται Δεροπούτ· γλύφεται δὲ ἐν λίθῳ σεληνίτῃ ἐν δεδοκιμασμένῳ ἀπάτῳ, καὶ ὅταν χρεία πιέσματος γένηταί σοι, ἐρωτήσ(ας) κάτεχε τοῦτο καὶ ὀφθήσῃ ἁβλαβῶς· πρόσχες δὲ τῇ δεξιᾷ σου χειρὶ καὶ ὅρα μὴ θέσ(ῃς) εἰς γῆν κατά τινα τρόπον. ποίει δὲ ἐν ἡμέρᾳ καὶ ὥρᾳ Ἄρεως αὐτοῦ. — In marg. ♀.

Τρίτος δεκανὸς καλεῖται Μεναὶμ Χιλλά· γράφεται δὲ ἐν ὀστράκῳ καὶ ἐπιριπτόμενον κατὰ τοῦ πυρὸς σβέννυσι τὴν δύναμιν καὶ οὐκ ἐᾷ προχωρῆσαι. — <Fuit in marg. ☿>.

Ζῴδιον ὁ Ζυγός.

Πρῶτος δεκανὸς καλεῖται Μπεὶ Φολάχ· γράφεται δὲ μεθ' αἵματος νυκτερίδος ἐν ἀγεννήτου ἐλάφου δέρμα τὸ ὄνομα ἐκείνης ἧς ἐρᾷς καὶ ὑποτιθέμενος litterae cryptogr. ἴδης ἐξαίσια. — In marg. ☾.

Δεύτερος δεκανὸς καλεῖται Μαρχέμ· γράφεται δὲ ἐν δέρματι κορώνης καὶ δεσμούμενον περὶ τὸ ἰσχίον ἰᾶται αὐτό. δεῖ δὲ γράφειν καὶ ταῦτα characteres mystici. — In marg. ♄.

Τρίτος δεκανὸς καλεῖται Ζὰχ Μέμ· γράφεται δὲ ἐν τῇ ἀριστερᾷ παλάμῃ μεθ' αἵματος ἔποπος ἢ νυκτερίδος ἐν ἡμέρᾳ καὶ ὥρᾳ τῆς Ἀφροδίτης. Characteres, γράφε δὲ characteres. — In marg. ♑.

Ζῴδιον ὁ Σκορπίος.

Πρῶτος δεκανὸς καλεῖται Σεπτετύλ· καὶ γράφε ἐν ὀστράκῳ ἀπὸ μνήματος καὶ ὑποτιθέμενος τῷ κοιμωμένῳ ὑπὸ τῷ προσκεφαλαίῳ καὶ ἐρωτώμενος ἀναγγέλλει ὅσα ἐποίησεν. — In marg. ♐.

Δεύτερος δεκανὸς καλεῖται Σελουάχαμ· γράφεται δὲ ἐν λίθῳ Ῥωμαίῳ μετὰ λυρπιούρου βοτάνης ζωμοῦ καὶ τριβόμενος καὶ ποτιζόμενος ἀπελαύνει δαίμονα ἐξ ἀνθρώπου. — In marg. ☉.

Τρίτος δεκανὸς καλεῖται Ἀμπάναν Τζένγγιχ· γράφεται δὲ ἐπὶ ἀρότρῳ ἢ γλύφεται ἐπὶ τοῖς τῶν βοῶν κέρασι καὶ ποιεῖ εὐφορεῖν τὰ σπέρματα.— In marg. ♀.

Ζῴδιον ὁ Τοξότης.

Πρῶτος δεκανὸς καλεῖται Λὰφ Μείχ· γράφεται δὲ ἐν τῷ μετώπῳ καὶ ἵσταται αἱμόρροιαν ῥινός. εἰ δὲ καὶ εἰς ἄλλο μέρος αἱμόρροια γένηται, γράφε ἐκεῖσε καὶ ἵσταται ἀ<να>μφιβόλως. βρεχθέντων δὲ καὶ κροκίδων μετ' ὄξους καὶ ὑποτίθεται ὑπὸ τῶν ὄρχεων. [χρὴ γινώσκειν καὶ τὸ ὑελοβότανον ἀναφυσώμενον μετὰ καλάμου, ὡς ἔστι τοῦτο θαυμαστὸν ἐν αἱμορραγίᾳ]. — In marg. ☿.

Δεύτερος δεκανὸς καλεῖται Ἀρχίμοι Ἰελούφ· γράφεται δὲ μεθ' αἵματος ἔποπος ἐν τῇ παλάμῃ καὶ ἔτι ὑγροῦ ὄντος Θ' ἢ ὀφθαλμός. θεάσῃ

2 ἄπατος quid sibi velit nescio, haec omis P. 5 del. αὐτοῦ. 12 ὑποτιθέμενος φλιᾷ τοῦ οἴκου αὐτῆς P charact. crypt. 23 ἐρωτᾶν cod. 24 in λυρπιούρου λ dubium. Rectius σκορπίουρου P. 31 αἱμορια cod. ἄλλον cod. αἱμορία cod. 37 quid sibi velit nota, nescio; fors. κύκλος.

ἐν τῇ σκοτίᾳ ὡς ἐν ἡμέρᾳ καὶ τὰ διεστῶτα πόρρωθεν· λέγων δὲ καὶ τὴν ἀρίστην κλῆσιν. — In marg. ☾.

Τρίτος δεκανὸς καλεῖται Ἀνασὰμ Τεριχέμ· γράφε δὲ ἐπ' ἀμφοτέροις μηροῖς καὶ ὁ περιπατῶν οὐδ' ὅλως ἀλγήσει· ἀλλὰ ἦν δι' ἡμερῶν ιβ' διέλθῃ † οὗ τα διὰ τριῶν. ποίει δὲ καὶ ζώνην ἐλάφινον καὶ ἐπίγραψον ταῦτα καὶ φόρει κατὰ σάρκα. ποίει καὶ τῆς Σελήνης οὔσης ἐν Ταύρῳ.— In marg. ♄.

Ζῴδιον ὁ Αἰγόκερως.

Πρῶτος δεκανὸς καλεῖται Μαχράμ· γράφεται δὲ ἐν χρυσῷ πετάλῳ ϛΓην' δικὰ βω'· καὶ φορεῖται εἰς τὸ στῆθος καὶ ὁ φορῶν ὑποτάσσει λαὸν πολὺν καὶ θηρία ἡμερώσει καὶ πᾶσι φίλος γενήσεται. — In marg. ♑.

Δεύτερος δεκανὸς καλεῖται Χαλχὴμ Ἰχέμ· γράφεται δὲ ἐν λίθῳ ἰάσπῃ καὶ τίθεται εἰς οἰκίαν μέσον καὶ ποιεῖ ταύτην εὐδαίμονα εὐτυχεῖν καὶ ἄνοσον. — In marg. ♐.

Τρίτος δεκανὸς καλεῖται ***· γράφε δὲ ἐν μετάλλῳ Κρόνου καὶ ῥίπτεται εἰς χωράφιον οἷον βούλει, καὶ οὐδέποτε καρπὸν δώσει, ἔνθα τὸ τοιοῦτον ἐπίκειται σημεῖον. ποίει δὲ καὶ εἰς ἄμπελον ἐν ἡμέρᾳ καὶ ὥρᾳ αὐτοῦ τῆς Σελήνης οὔσης ἐν Αἰγόκερῳ. — In marg. ☉.

Ζῴδιον <ὁ> Ὑδροχόος.

Πρῶτος δεκανὸς καλεῖται Βαζείγχ· γλύφεται δὲ ἐν λίθῳ μορόξυ καὶ φορούμενος ποιεῖ ὑδρωπικοῖς ὑγίαν· ἡ δὲ δοκιμασία· κρέμασον ἐπὶ ἀγγεῖον ὕδωρ ἔχοντα καὶ ψηλαφήσας μετὰ τρεῖς ἡμέρας εὑρήσεις κενόν. — In marg. ♀.

Δεύτερος δεκανὸς καλεῖται Χουνλιάχμ· γράφε οὖν ἐν ὑέλῳ μετὰ ὀποῦ πραχατὰβ βοτάνης, ἣν Σύροι συρὲρ καλοῦσιν, καὶ ἀποπλύνεται μετ' οἴνου καὶ ὁ πιὼν εὐθὺς ἄρχεται δαιμονᾶν· λύσει δὲ τοῦ νοσήματος τὸ κάτω. — In marg. ☿.

Τρίτος δεκανὸς καλεῖται Μαχιλούχ· γράφε δὲ ἐν ὑέλῳ μετὰ ζωμοῦ ὠκίμου ῥιζίου· καὶ ἀποπλύνεται μετ' οἴνου καὶ ποτίζεται μαινομένῳ καὶ ἰᾶται πάρευθυς. — In marg. ☾.

Ζῴδιον τῶν Ἰχθύων.

Πρῶτος δεκανὸς καλεῖται Καΐν Χάμ· λαβὼν ὄρνιν λευκὴν ἐν ἡμέρᾳ Ἀφροδίτης τὸ πρὸς ἑσπέραν σφάξον ἀπέναντι τοῦ φωτὸς τῶν ἄστρων· καὶ ἐκ τοῦ αἵματος ταύτης γράφε ἐν τῇ δεξιᾷ παλάμῃ καὶ ἀσπασάμενος characteres magici. — In marg. ♄.

2 ἄριστον cod. 3 ἀμφοτέροι cod. 5 οὕτως δι' ἡμέρας τρεῖς P. 10 ἐξάγια ἰνδικὰ δ' rectius Paris. 14 nempe εὐτυχῇ. 16 lacuna duodecim fere litt. in cod.; nomen deest etiam in P. 19 αὐτοῦ sc. Saturni. 20 ὁ suppl. 22 ὑγία cod. 26 σύραι cod. pro συρὲρ] σιρέχ P. 28 fors. infra olim formula adscripta erat ad depellendum morbum idonea.

Δεύτερος δεκανὸς καλεῖται Πὸχ Μελλέφ· γλύφεται δὲ ἐν λίθῳ περιλευκίῳ καὶ ἐπιτίθεται ἐν χρυσῷ δακτυλιδίῳ καὶ φορεῖται· ἀκίνδυνον γὰρ ποιεῖ τὸν φοροῦντα καὶ πλέοντα θάλασσαν μᾶλλον καὶ ποταμὸν φυλάττεται καὶ τριταῖον καὶ τεταρταῖον καὶ ἐφημερινόν· καὶ ὅλως μέγιστόν ἐστι φυλακτήριον. — In marg. ☽.

Τρίτος δεκανὸς καλεῖται Συρὲμ Ὁλάχμ· γλύφεται δὲ ἐν λίθῳ σπληνίτῃ ἢ ἡπατίτῃ καὶ φορούμενος οὐκ ἐᾷ ἀλγῆσαι σπλῆνα ὅλως ἡ ἧπαρ. — In marg. ♐.

3 ποταμῶν cod. 4 ἀφημερινόν cod.

In codice Parisino 2419 nomina decanorum, sicut et multa alia, signis cryptograficis notata sunt, sed manus posterior saepe mysticarum litterarum interpretationem superscripsit. Quae sic explicavit, sunt haecce :

	Decanus I	Decanus II	Decanus III
Aries	—	—	—
Taurus	—	Χωνταχ	—
Gemini	Πρες Χαρζ	Ἀγιερσεαγῖρ	Ανασαμ Τεττυχ
Cancer	Σαρχααμ Κοφευς	—	—
Leo	—	—	Πανχαταπ
Virgo	Ταλαντις Χαρχαμ	—	—
Libra	Μπεμειπι Ολαχ	Μαρχεμ	Αδαχμεμ
Scorpius	Σαπετιχ	Σελουαραμ	Ιαμπαναχ Πεγγιχ
Sagittarius	Λαπιμειχ	Αρχιμα Ιελουπι	Ανασαμ Τεριχεμ
Capricornus	Μαχραμ	Καλκαμιχαμ	omissum
Aquarius	—	Χουνλιαχμ	Μαχιλουχ
Pisces	Καιμχαμ	Πιμενεπι	—

EXCERPTA EX CODICE 2 (Phil. gr. 115).

F. 117v. Cap. οα'. Ἑρμοῦ τοῦ Τρισμεγίστου ἐπιλογὴ καθολικὴ τῶν καταρχῶν ἀπὸ τῆς Σελήνης οὔσης ἐν τοῖς ιβ' ζῳδίοις.

Περὶ τοῦ συναντῆσαι βασιλεῖ καὶ σουλτάνῳ ἐν Κριῷ οὔσης τῆς Σελήνης ἀγαθή· ἐν Ταύρῳ καλή· ἐν Διδύμοις μέση· ἐν Καρκίνῳ ὁμοίως· ἐν Λέοντι καλή· ἐν Παρθένῳ μέση· ἐν Ζυγῷ κακή· ἐν Σκορπίῳ κακή· ἐν Τοξότῃ καλή· ἐν Αἰγόκερῳ κακή· Ὑδροχόῳ μέση· καὶ ἐν Ἰχθύσι καλή.

F. 143v. Περὶ τῆς τοῦ Κυνὸς ἐπιτολῆς.

Λαβὼν τὰ ἀπὸ τῆς Ἀλεξάνδρου τοῦ Μακεδόνος τελευτῆς ἔτη τούτοις πρόσθες καὶ τὰ ἀπὸ Μενόφρεως ἕως τῆς τελευτῆς τοῦ αὐτοῦ Ἀλεξάνδρου ἔτη ϡϛη' καὶ τῶν συναχθέντων λαβὼν τὸ τέταρτον μέρος πρόσθες καθόλου ἡμέρας ε' εἰς τὸ τέταρτον μέρος καὶ ἐκ τῶν γενομένων ἔκκρουσον τὰς τοῦ ἐνιαυτοῦ ἐκείνου τετραετηρίδας καὶ τὰς λοιπὰς ἡμέρας ἀπόλυσον ἀπὸ ἀρχῆς τοῦ Θώθ, διδοὺς ἑκάστῳ μηνὶ ἡμέρας λ'· καὶ ὅπου δᾶν καταλήξῃ ὁ ἀριθμός, ἐκείνη ἔσται ἡ τοῦ Κυνὸς ἐπιτολή.

Ὑπόδειγμα. Ἡ ἀρχὴ τῆς Θεοφίλου βασιλείας γίνεται ἀπὸ Μενόφρεως ἔτη ͵βρν'· τούτων τὸ δ'' φλζ'· τούτοις πρόσθες καθόλου ἡμέρας ε'· ὁμοῦ γίνονται ἡμέραι φμβ'· ἐκ τούτων ἄφελε τετραετηρίδας σιε' καὶ μένουσι τιθ'· ταῦτα ἀπομέρισον ἀπὸ τῆς ἀρχῆς τοῦ Θώθ, καὶ καταλήγει ἡ τοῦ κυνὸς ἐπιτολὴ Ἐπιφὶ ἡμέρᾳ κθ'· εἰ (an εἰς?) δὲ κθ' τοῦ Ἐπιφὶ δηλονότι τοῦ παρὰ Ἀλεξανδρεῦσιν, ὅστις μεταλαμβάνεται εἰς Ἑλληνικὸν ἤτοι Ῥωμαϊκὸν μῆνα Ἰουλίου ἡμέρᾳ κγ'· καὶ ὁμοίως ἐπὶ τῶν λοιπῶν ἐτῶν τὸ αὐτὸ ποιητέον. — ἔτη ἀπὸ Μενόφρεως ἕως τῆς τελευτῆς τοῦ Ἀλεξάνδρου ϡϛη', ἕως τῆς λήξεως Αὐγούστου ͵ατλε', ἕως τῆς ἀρχῆς Θεοφίλου ͵βρνα'· Θεόφιλος ιβ'· Μιχαὴλ σὺν τῇ μητρὶ αὐτοῦ Θεοδώρᾳ ἔτη ιδ'· Μιχαὴλ μόνος ιβ'· Βασίλειος ιθ'· Λέων υἱὸς αὐτοῦ κς'· Ἀλέξανδρος ἕν· Κωνσταντῖνος μετὰ Ῥωμανοῦ ἕως ἰνδικτιῶνος ** ἔτη **. τὰ δὲ πάντα ἔτη ἀπὸ Μενόφρεώς εἰσιν ἕως Ῥωμανοῦ καὶ ἕως ἰνδικτιῶνος ** τὸ τέλος ἔτη ͵βσμ', καὶ ἔστι

4 debebat ἀγαθόν, καλόν etc. 10 μὲν ὄφρεως et hic et infra. 13 τετραεταιρίδας cod. 16-17 μὲν ὄφρεως hic et infra. 18 ratio non constat, cum 327 esse debeant pro 319. 28 post ἕν lac. sex litt., etiam seqq. lac. in codice indicantur.

τὸ τέταρτον φξβ'· πρόσθες καὶ ε' καὶ γίνονται ὁμοῦ φξζ'· ἀπὸ τούτων ἔκκρουσον τὰς τετραετηρίδας τοῦ νῦν καιροῦ, αἵτινές εἰσι σλη', καὶ μετ' αὐτοῦ τὰς πρὸ τοῦ Σεπτεμβρίου ε' (?) καὶ Ὀκτωβρίου μίαν τῶν λοιπῶν· καὶ τὰ ἐναπομείναντα ἀπὸ τοῦ Σεπτεμβρίου ἀπόλυσον· καὶ ὅπου καταντήσει, ἐκεῖ γίνεται ἡ ἐπιτολὴ τοῦ Κυνός.

Qui haec scripsit, fuit regnantibus Constantino VII et Romano (919-44) et usus est ratiocinatione vetustiore sub Theophilo (829-842) facta.

F. 159. Cap. ρλε' (ρμζ'). Περὶ ἀγορασμοῦ. Ἰουλιανοῦ [1].

Περὶ δὲ ἀγορασμοῦ σκέπτου οὕτως. ἔστω σοι τὸ ὤνιον ἡ Σελήνη, ὁ δὲ πωλῶν ἀφ' ὧν ἡ Σελήνη ἀπορρέει, ὁ δὲ ἀγοράζων ᾧ ἡ Σελήνη συνάπτει. ἐὰν ἀπὸ κακοποιοῦ φέρηται ἡ Σελήνη, ὁ πωλῶν βλαβήσεται ἢ οὐ καλός ἐστιν· ἐὰν ἀπὸ ἀγαθοποιοῦ ἐπὶ ἀγαθοποιὸν φέρηται, καὶ τῷ πωλοῦντι καὶ τῷ ἀγοράζοντι λυσιτελήσει. καὶ ἀπὸ τῶν κεφαλαίων δὲ περὶ ἀγορασμοῦ σκέπτου οὕτως· ἔσται ὁ ὡροσκόπος ὁ ἀγοράζων, τὸ δῦνον ὁ πωλῶν, τὸ μεσουράνημα ἡ τιμή, τὸ ὑπόγειον τὸ πιπρασκόμενον. ἐὰν ἀγαθὸς μαρτυρῇ, ἀγαθὰ λέγε τὰ ἐφ' ἑκάστου κεφαλαίου σημαινόμενα. τὰ δὲ λοιπὰ ζήτει ἐν τῷ τοῦ Ἰουλιανοῦ βιβλίῳ.

F. 159ᵛ. Cap. ρλε' (ρμη'). Περὶ ἀγορασμοῦ· κοινά.

Κρόνος οὐκ ἀγαθὸς εἰς τὰ πεπραγμένα παρατυγχάνων ἄπρακτα αὐτὰ καθίστησι· πρὸς δὲ τὸ ἀναπεῖσαί τινα ἐπὶ κακίᾳ δόλῳ ἀγαθὸς καὶ πρὸς κακοβουλίαν. Ζεὺς ἐν παντὶ πράγματι πρὸς τὸ δίκαιον πράττειν ἀγαθὸς καὶ πρὸς τὸ συμβουλεύειν ἐπὶ ἀγαθοῦ, τοῖς δὲ κακοδαιμονοῦσιν οὐκ ἀγαθὸς οὐδὲ ἐπιδέξιος. Ἄρης ὅταν ἀληθινὸν θέλῃ καταπράξασθαι, οὐκ ἀγαθός· πρὸς δὲ τὸ ἀναπεῖσαί τινα ἐπὶ κακοπραγμοσύνην ἀγαθός. Ἥλιος πρὸς τὰ ἀληθῆ καὶ φανερὰ συντελούμενα ἀγαθός· ὅταν δέ τι λαθραῖον θέλῃς πρᾶξαι, οὐκ ἀγαθός· φανερὸν γὰρ ἔσται πᾶν τὸ πεπραγμένον. Ἀφροδίτη πρὸς πάντα τὰ πράγματα ἀγαθή, μάλιστα δὲ πρὸς γυναῖκας καὶ ῥαθυμίας. Ἑρμῆς ἀγαθὸς πρὸς τὸ πρᾶξαι δόλῳ καὶ ὃ ἐὰν ἐπιθυμήσῃς καὶ εἴ τι ἐπὶ πονηρίᾳ· ἀγαθὸς δὲ καὶ κλέπταις παρατυχὼν καὶ πρὸς γεωργίαν ἀγαθὴ πᾶσιν, πρὸς δὲ τὰς ἄλλας πράξεις ἄπρακτος. τὰ δὲ λοιπὰ τῶν περὶ πράξεων ζήτει ἐν τῷ τοῦ Ἰουλιανοῦ βιβλίῳ.

1 iterum ratio non constat ni fallor. Itaque scribendum est p. 79, 28, ἕως ἰνδικτιῶνος ιγ' ἔτη ιγ', i. e. annus 925 p. C. nam primo anno regni Constantini indictio nova incipit; Pro ,βσμ' scribendum est ,βσμη'. 15 designari puto ipsum caput sequens. 19 inscriptio cum sequentibus non congruens, cuius loco esse debebat περὶ πράξεων. 31 scr. ἀγαθός et fort. πᾶσαν.

[1] De Iuliani Laodicensis excerptis cf. *Catal.*, IV, p. 99 ss.

F. 222. μζ'. Ἀπὸ τοῦ τρίτου βιβλίου τοῦ Δωροθέου εἰς τὸ ις' κεφάλαιον γράφεται οὕτως.

Ἴδε εἰς τὴν ἐναλλαγὴν τοῦ χρόνου τοὺς ἀστέρας τοὺς ἔχοντας φάσιν ἐψαν· κνιπεύουσι γὰρ τὰ εἴδη ὥνπερ κυριεύουσιν. οἱ δὲ ἀστέρες οἱ εὑρεθέντες ἐν τοῖς ταπεινώμασιν αὐτῶν καὶ κεκακωμένοι ποιοῦσιν εὐθην(ίαν) τῶν εἰδῶν ὥνπερ κυριεύουσιν. εἰ δὲ εὑρεθῶσι κεκακωμένοι καὶ δυνάμει καὶ οἰκειώσει, τουτέστιν εἰς τὰ ἀποκλίματα καὶ εἰς τὰ ταπεινώματα αὐτῶν καὶ ὕπαυγοι, τότε λέγε πλήρη τῶν εἰδῶν εὐθηνίαν ὥνπερ κυριεύουσι· καὶ ὅταν εὑρεθῶσι καλῶς ἔχοντες καὶ δυνάμει καὶ οἰκειώσει, λέγε τὸ ἐναντίον κνιπεύειν· εἰ δὲ εὑρεθῶσι καλῶς τῇ δυνάμει, κακῶς δὲ τῇ οἰκειώσει, δηλοῖ κνιπείαν καὶ μετὰ ταῦτα εὐθηνίαν.

1 Cf. quae de usu paraphrasis in capita digestae dixi *Philologus*, N. F., XI, 129. 8 πλήρης cod.

EXCERPTA E CODICE 3 (PHIL. GR. 179).

Procli fragmenta.

Quae sequuntur capitula exilia fortasse e Procli ὑποτυπώσει τῶν ἀστρονομικῶν ὑποθέσεων deducta sunt. Versus byzantini, qui prius fragmentum excipiunt, sine dubio aliunde fluxerunt.

F. 11v. Σχόλια Πρόκλου Οὐρανοδρόμου.

Περὶ ἀνατολῶν καὶ δύσεων ἄστρων εἰπεῖν ἀστρολογικῶς ὡρμημένῳ μοι δέον κεφαλαιωδεστέρως ἐκθεῖναι πάσας ἀστροθεσίας ἐν τῷ ζῳδιακῷ λοξοκινήτῳ κύκλῳ, ὃς ἀπὸ βορρᾶ κεῖται πρὸς μεσημβρίαν. ἄστρων τοίνυν ὑπάρχουσιν δώδεκα τμήματα, ἃ καὶ ζῴδια καλοῦνται, ὧν τὰ ὀνόματά εἰσι ταῦτα: Κριὸς ♈, Ταῦρος ♉, Δίδυμος ♊, Καρκίνος ♋, Λέων ♌, Παρθένος ♍, Ζυγὸς ♎, Σκορπίος ♏, Τοξότης ♐, Αἰγόκερως ♑, Ὑδροχόος ♒.

F. 93. Σχῆμα οὐρανοῦ Πρόκλου Οὐρανοδρόμου.

Τὸ μὲν οὖν ἄνωθεν τῆς γῆς ἡμισφαίριον μοίρας ἡλιακὰς ἔχει ρπ'· ἔστι δὲ κοῦφον καὶ ἀέρος πνοὴ περιέρχεται καὶ ἡ τῶν πτηνῶν πτῆσις σκαίρει. πολλάκις καὶ πυρὸς κατένεξις γίνεται ἐκ τοῦ αἰθέρος. τὸ δὲ κάτωθεν τῆς γῆς ἡμισφαίριον μοίρας καὶ αὐτὸ ἡλιακὰς τὰς ὁμοίας ἔχει ἤγουν ρπ'· ἔστιν οὖν ἔμπλεων ὕδατος καὶ ὑποκάτω τούτου ἀέρος οἴκησις· καὶ νεφελῶν γονιμότης τοῦ ὕδατος καὶ ἀέρος. ὅθεν καὶ τὸ ἀεικίνητον τῶν ὑδάτων ὑπὸ τοῦ ἀέρος γίνεται. τὸ δὲ κάτωθεν χάος ὂν ἤγουν κοῦφον ὡς καὶ τὸ ἄνωθεν.

De septem stellarum herbis [1].

F. 31v. Περὶ τῶν ιβ' ζῳδίων καὶ τῶν ζ' πλανητῶν καὶ τῶν συνεργουσῶν αὐτοῖς βοτανῶν.

Ὁ ζῳδιακὸς κύκλος μεμορφωμένος ἐστὶν εἰς μέρη καὶ ἁρμούς. Ἐξέρχεται ἀπὸ τοῦ κόσμου ὁ Κριός, κεφαλή ἐστιν τοῦ κόσμου, ὁ Ταῦρος τράχηλος, οἱ Δίδυμοι ὦμοι, ὁ Καρκίνος θώραξ, ὁ Λέων μετάφρενα καρδία καὶ πλευραί, ἡ Παρθένος κοιλία, ὁ Ζυγὸς γλουτοί, ὁ Σκορπίος μόρια, ὁ Τοξότης μηροί, ὁ Αἰγόκερως γόνατα, ὁ Ὑδροχόος κνῆμαι, οἱ Ἰχθύες πόδες.

Οἱ δὲ ζ' πλάνητες οὕτως καὶ αὐτοὶ ἐν ἡλικίᾳ παραλαμβάνονται. ὁ μὲν οὖν Κρόνος κεφαλὴ καὶ τράχηλος, ὁ δὲ Ζεὺς ὦμοι καὶ θώραξ, ὁ δὲ Ἄρης μετάφρενα καὶ νεφροί, ὁ δὲ Ἥλιος καρδία καὶ πνεύμων καὶ ἧπαρ, ἡ δὲ Ἀφροδίτη μόρια, ὁ δὲ Ἑρμῆς μηροὺς καὶ γόνατα, ἡ δὲ Σελήνη κύστις καὶ κοιλία.

Εἰσὶ δὲ καὶ αἱ τούτων βοτάναι αὗται, αἳ συνεργοῦσι κατὰ τὴν ἰδίαν αὐτῶν φύσιν.

Ἡλίου βοτάνη πολύγονον· ἔλαβε τὴν προσηγορίαν ἐκ τοῦ τὸν Ἥλιον πᾶσιν ἀρχηγέτην καὶ σπορέα γεγενῆσθαι· αὐτήν τινες χαμαιλέοντα προσηγόρευσαν ἐκ τοῦ κατ' οὐρανὸν καὶ γῆν τὰ μῆλα λελογχέναι· πινόμενος γὰρ ὁ χυλὸς αὐτῆς ἑτοιμοτέρους πρὸς γόνον καὶ ἀφροδίσια παρίστησι. περιαφθεῖσα ἡ ῥίζα πᾶσιν ὀφθαλμίας παραλλάσσει· ἰᾶται δὲ φρενητικοὺς ληθαργικοὺς ἀμβλυωποῦντας θαυμαστῶς περιαπτομένη καὶ τοὺς ἐν καταρχαῖς τῶν ὑποχύσεων.

Ἡ βοτάνη τῆς Ἀφροδίτης ἐστὶν ἡ περιστερεών· ταύτης ἡ ῥίζα περιαφθεῖσα τὰ περὶ τὸν τράχηλον ἰᾶται πάθη, χοιράδας, παρωτίδας, βουβῶνας. ὁ δὲ χυλὸς αὐτῆς ἵστησιν αἱμορροΐδας μετὰ μέλιτος καὶ νίτρου προσκλυζομένη. πινόμενος ὁ χυλὸς μετὰ μέλιτος λεπτύνει τὰ ἐντὸς ὑγρά. ἡ βοτάνη ἁρμόδιος γίνεται καὶ πρὸς ἀφροδίσια, ὁ χυλὸς παρέχεται τοῖς συνουσιάζουσιν. ἐν οἰκίᾳ γὰρ ἡ ῥίζα περικειμένη ἀπελαύνει πάντα φαῦλον δαίμονα.

Ἡ βοτάνη τοῦ Ἑρμοῦ ἦν τὸ πενταδάκτυλον, οἱ δὲ πεντάφυλλον.

1 Capitis huius ex Antiochi thesauris desumpti formam (ab ipso?) decurtatam ed. Pitra, *Anal. sacr. et class.*, V, 282 e cod. Mosquensi 415. 3-13 aliunde inlata esse patet. 4 Fuitne Ἄρχεται τοῦ κ. ὁ. Κ. <δς>? 14 βοτάναι bis in cod. 16 ἔλεβε cod. 17 γενῆσθαι cod. 18 ἐν cod. τὰ μέρη Mosq. λελοχέναι cod. 20 Melius ἀπαλλάσσει Neap. 23 περιστερεῶνα cod. 26 debebat προσκλυζόμενος. 28 Rectius παρακειμένη Neap.

[1] Partem posteriorem huius excerpti ex codice Neapolitano 19 ediderunt Bassi et Martini in *Catal.*, IV, p. 134 s. Cum ex Vindobonensi textum interdum corrigere liceat, totum frustulum hic repetere visum est.

ἰᾶται τὰ ἔναρθρα γινόμενα πλήγματα καὶ τὰ πυρώδη, σπλῆνας καταπλασσομένη, κοιλίας στρόφους· παύει τὰς τῶν ὀδόντων πόνους διακλυζομένη. ἡ ῥίζα περιαφθεῖσα τῷ στόματι εὐλόγους ποιεῖ καὶ ῥητορικοὺς ἐν τοῖς λόγοις. ὀνίνησι καὶ τοὺς λιθιῶντας καὶ δυσουριῶντας.

Ἡ βοτάνη τοῦ Ἄρεως λέγεται ἀρνόγλωσσον. ἰᾶται τὰ ἐν αἰδοίοις πάθη καὶ ῥυπαρὰ ἕλκη ἰᾶται· εὐθετεῖ καὶ δυσεντερικοῖς καὶ αἱμορροΐδας καὶ τὰ πυρώδη καὶ φθαρτικά.

Ἡ δὲ τοῦ Διὸς βοτάνη ἦν ἀλχαράνιος. ταύτης ἡ ῥίζα ἰᾶται βουβῶνας ποδαλγικοὺς ἡπατικοὺς μετὰ κρόκου καὶ μέλιτος πινομένη· περιαπτομένη καὶ τοῖς συνουσιάζουσιν ἁρμόζει· περιαπτομένη ταῖς γυναιξὶν ἐπιχαρεῖς ποιεῖ πρὸς ἀφροδισίαν.

Ἡ δὲ τοῦ Κρόνου βοτάνη ἐστὶν ἀσφόδελος <ἢ> ἡρακλεία. ταύτης ὁ χυλὸς μετὰ στύρακος πόνους ἰᾶται γονάτων καὶ ποδῶν· τῆς ῥίζης ὁ χυλὸς ἐψηθεὶς ὠφελεῖ πόνους νεφρῶν καὶ φόβους ἰᾶται δαιμονιζομένων· περιαπτομένη καὶ τοῖς ὀδοντιοῦσι παιδίοις εὐθετεῖ.

Ἡ δὲ τῆς Σελήνης βοτάνη κυνόσβατος. καθαίρει δὲ ὁ χυλὸς τὰ τοῦ θώρακος δριμέα καὶ στομάχων καὶ πλευρῶν. εὔθετος δὲ καὶ πρὸς ὀξυδερκίαν καὶ ἀμβλυωπίας ἰᾶται καὶ εὐθετεῖ στόμαχον κεκακωμένον. ἔτι ἁρμόζει στρόφους καὶ ἕδρας πυρακτωμένους ἰᾶται.

7 αἱμοραΐδας cod. 9 σαχαρώνη Mosq. *Alraun?* 15 ἐψηθὲν cod. 17 σκηνόσβατος cod., corr. e Mosq.

Incantamenta.

F. 106ᵛ. Σολομωνιακὴ πρώτη ἑρμηνεία εἰς ἐντολὴν μεγάλων ἀνθρώπων.

Γράφον εἰς χάρτην ἐλαφικὸν ἢ εἰς φύλλον κυτρέας μετὰ κόκκου καὶ ζαφορᾶς καὶ ῥόδου στάγματος· καὶ ὅταν τὸ γράψεις, κάπνισον αὐτὸ ξύλῳ καὶ δῆσον αὐτὸ εἰς τὴν δεξιὰν αὐτοῦ χεῖραν. οὕτως εἰσίν· pentagramma et similia quaedam.

Ὁμοίως γράφε εἰς χάρτην ἀγέννητον βεβρεγμένον καὶ δέσον εἰς δεξιάν σου χέρα· Μωυσῆς καὶ Ἀαρὼν ἦλθεν εἰς πραιτόριον μετὰ ἐμοῦ τοῦ δεῖνος. ὁ ἅγιος Δανιὴλ ὁ τὰ στόματα λεόντων χαλινώσας δῆσον καὶ βούλλωσον τὰ στόματα τῶν κακῶν ἀνθρώπων τοῦ ἀντιδίκου τοῦ δεῖνος, τὸν ἐπανιστάμενον κατ' ἐμοῦ τοῦ δούλου τοῦ θεοῦ τοῦ δεῖνος, καὶ ὡς πέπτουντει πολλὰ ὑποκάτω τοῦ ἀετοῦ καὶ τὰ ζῷα ἀπὸ τῶν φόβων τῶν λεόντων, οὕτως ποίησον καὶ τοὺς ἀντιδίκους τοῦ δεῖνος.

1 ἐνστολὴν cod. 3 κόσκου cod. 4 στάματος cod. 5 ξυλλῶ et aliquid supra scr. 7 βεβρην' cod. 8 χέρας cod. ἐμοῦ] μιέν ut vid. cod. 9 δίδον corr. in δίσον cod. 11 τὸν δουλ' cod. 12 fortasse forma vulgaris pro πίπτουσι, hodie πέφτουνε. 13 ὀδύνος cod.

Sapientia Salomonis.

Tractatus uberrimus, cuius specimen edimus, totus Salomoni tribui videtur, ut multa olim et nunc (cf. Dieterich, *Papyrus magica*, 755; *Mus. Rhen.*, LV, 249; pap. Vindobon. apud Wessely, *Denkschr. d. Wien. Akad.*, XLII, p. 66, v. 29, incantamentum n. 56 Heimii cum eius nota [addo amuletum prope Smyrnam inventum: *Bull. corr. Hell.*, 1893, p. 638], ἑρμηνεία Σολομῶντος in cod. Taurin. 5, f. 75ᵛ, " segno di Salomone „ nostrae aetatis Italis notum; cf. Liebrecht, *Gervasius*, 77, etc.). Nam in f. 124 dicitur: παραγενόμενος ὁ Σολομὼν ὁ προφήτης ταῦτα ἔλεγεν; paulo post: ἔλεγεν δὲ ὁ Σολομὼν· τρία πράγματά εἰσι τὰ καλά, φρόνησις ἀνδρία καὶ τιμὴ τῆς φορεσίας et in eis quae edimus saepius commemoratur. Subesse videtur operatio magica litteris utens, id quod et ex litterarum singularum usu et ex quibusdam verbis cognoscitur, velut f. 128: οὕτως καὶ ἡ σοφία τῶν γραμμάτων τῆς φιλοσοφικῆς καὶ γραμμάτησις καὶ ἐξίστασις, f. 125ᵛ: κατ' ἄμετρον σοφίαν καὶ εἴδησιν τῶν γραμμάτων φιλοσοφικὴν καὶ λεκανομαντίαν, f. 133ᵛ: ἐρεύνιζε δὲ τὴν σοφίαν τῶν γραμμάτων καὶ κατὰ τὰς <σ>κάφας τῶν μέτρων. Sed ne quis umquam praeter ipsum hanc sapientiam perspectam haberet, cavit magus egregius, suam sibi dialectum suaque Ἐφέσια γράμματα confingens. Nam etsi interdum inscitia tantum peccavit, dum graece scribere ut saeculo tertio quartove p. Chr. n. scribebant frustra conatur, haud raro impudenter de suo vocabula finxit. Atque etiam Ephesiae litterae quas profert prorsus diversae sunt ab eis quae adhiberi solent et sine dubio ab ipso excogitatae. His de causis inutile duxi totam farraginem publicare, cum neque de superstitione vere populari neque de vetustis magiae ritibus multum inde discamus, specimina quaedam eis proponere contentus, qui harum rerum curiosi sunt.

F. 178. Τῶν Σολομωνιακῶν εἴδησις· ὅτι καὶ τῶν θεμελίων ἡ γραμμάτησις πάντων· ἐνοίκησις ἔχων αὐτῷ· ἀλλὰ μὴ θηνίσασθαι καὶ τὰ τῶν δρόμον χάσεις, ἀλλὰ νίκησον αὐτῷ, ἵνα πάντων ἔχοντες· σωσῶ νομῶντος· ὅμισ· μιμησῶντες ἱρίστωται: καὶ τὰ τῶν ἄμμων ἐρευνήσει· ὁ δὲ ἔχων τὰ γράμματα αὐτὰ καὶ πληρώσας τὰς δώδεκα στάσεις ἐνίκησεν ἅπαντας· ἐξεύρη πάντων ὅσας πυρὶ ὁμόδης βάλλει· ἐρευνὴ τὸν ψῆφον καὶ μέτρον· ἄρξεσις τῶν πωλίων πετομένων καὶ τῆς γῆς σαλευόμενα ... τὴν τετάρτην ἔλεγεν, τέταρτος τῶν τετάρτων στάσαις (?).

Ἀρχὴ πέμπτη· πέπτος συνιμικῶς· σωνιδώρων· ὁ σώστης· ἐξίστατος· τῶν ἀπονοῦ· ..... τῶν μαρμάρων καταθήνης· ἢ χ' χ' πλόως χ' τῶν ἀποδήμονος· γράμματα ζ' α' α'· τῶν ἀπάρφα' ἀραφῶς· γράμματα δέκα·

1 voluit καὶ θεμέλιον ἡ; in tanta corruptione nihil fere mutavi, cum nonnulla quivis emendaturus sit in perlegendo, nemo autem futurus sit qui multa intellegat. 9 novi incantamenti initium saepius hoc modo designatur. 11 Ephesiarum litterarum numerus additur, ut librarii in transcribendo ab omittendo aut addendo caveant, cf. γράμματα ν' in pap. Paris. 2698.

ὀξεία δύναμιν καὶ βαρείαν· κ' κ' κ'· ⟦σημάδην κ' σύρμα· γράμματα λ'· ρ' ἢ ρ'· σύρμα· ὡς ξ' καὶ δέ· γράμματα η', στοίχει ὑπάρχοντα τὰ τῶν γυναικῶν στοιχήματα. εἴ τίς τινας ἀγαπᾷ γυνή, γράφει οὕτως· α' α' φ' φ'· φ' φ' οὐ φιλεῖς με, μ' μ' οὐ μηνεῖς με, ἀλλὰ τούτω· τ' τ' οὐ θέλεις εἰμί, εἰ θέλεις εἰμί, μάθην τὴν δύναμιν αὐτοῦ· τρέμης καὶ οὐ τρέμης. τρομάσσεσαι καὶ οὐ κάθεσαι· ἀλλὰ ταράσσεσαι ὑπ' αὐτῶν καὶ κλαίεις καὶ οὐκ ἀκούωσαι· φ' γελᾷς με, φ' οὐ χρίζω ἐσέν· ἀλλὰ κλαίεις καὶ οὐκ ἀκούωσαι· κλαιόνοσσος στωόμενος καθεζόμενος στεκόμενος ταραχιζόμενος ὄνος ἵππος συνόντως ἀβασγὸς συνηρίσμος πρωή τις τῶν ὁροιγισμός· ὄγδιστος ὁρόμισμος κλειστικῶς ἀθλήμις φλογιτικῶς συνάρμωμος ἐκπισμός· πέμπτος τῶν ἀποπλήστεις πέντε στάσαις.

Ἀρχὴ ἕκτη. συνηρισμόσστω· συνηριγμόσστω· φλογιστικόσστω· τῶν ἀχοριγμῶ· ὀχνίστης· πνοϊστικῶς· ταραχισμόμενος· ὄγνυσ· σύνισμος· φράγγελος· φραιλλισμός· ὀξυστικῶς τορισμόντις· δράμοστος· πλοΐσμος· ἀνάβαλμος· προύπουργός· συνομορ̣γορόντις· πυλωρόϊστος· πλοϊσμίς· ἀντιμῆνος· συνόδοσμος· ὀχλησμός· τούροσμος· ὄσβος· κύνοπος· ὁρισμικύτης· ὀδρινύς· ὁδροκότης· γονισμός· ἀνίδυσμος· ὀνιμυσμικῶς· κλυσμός· ὀνείδως· τῶν ἀποβορυσμήντης καὶ Γολγοθᾶ· θρόμοσμος· ὀγυρίσης· τοροσόβουνον· ὁπλισμός· ἀπλείστοις· τῶν προζομῶ· ἐργαμονιθησεῖς· τῶν καμάρων καὶ τῶν τροχῶν οὐράμος· οὐρανὸν ἐκατέστησεν, φέγγος καὶ Σελήνην, ἄστρα καὶ νεφέλην, νέφη καὶ ἀνέμους καὶ ἀστραπὴν καὶ βροντὴν καὶ βροχὴν ἐπαρέστησαν· ὄντις σοφίαν τῶν γραμμάτων· ποταμοὺς ἐκίνησαν· καὶ ποταμοὺς θολούς, θολοὺς καὶ βουρκομένους· ὡς καὶ οἱ λίθοι τρέχουν καὶ οἱ γορδάτοι γογγύζουν, γογγυσμοὺς φωνάζουν· ὦ Σολομὲ Σολομὲ ἐρρύσω ἐρρύσω ἡμᾶς· οὐκ ἠλέησεν αὐτοὺς ἀλλὰ καὶ πολλὰ θαυμάσια ἐποίησεν αὐτοῦ. Τὰ τῶν καμάρων καὶ θολῶν πολλὰ θαύματα φοβερά· στήματα καὶ ψήφους Ἑλληνικοὺς καὶ Ῥωμαϊκοὺς καὶ προφητικοὺς ἐποίησεν ὁ Σολομῶν κατὰ τὸν ἀρχάγγελον τὸν τόπον; ἔστη σημεῖα καὶ σημάδια ἀπελασίαις καὶ στοιχήματα· σημάδια καὶ πραγμάτων· καὶ κατὰ τόπον Φιλίππου ἐκ δεξιῶν καὶ ἀριστερῶν. Δεξιῶν στοιχήματα, ἀριθμὸν οὐκ ἔχουν· εἰ δὲ ἀριστερά, πράγματα πολλὰ καὶ θησαυροί· θησαυροί, ὦ σμαράγδων θησαυροί· καὶ ὅστις ἐστὶν δόκιμος καὶ τὰ τῶν γραμμάτων ἄφοβος καὶ πολέμαρχος πολεμίζειν τοὺς θησαυρούς· καὶ ὡς θέλει γίνεται· εἰ μὴ πιάσεις σημάδια καὶ κάστρα διερρωγότα, οὐκ ἀπεξουσιάζεις αὐτούς, τοὺς θησαυρούς· ἀλλὰ γύρευε κάστρα χαλασμένα, μάρμαρα καὶ κιόνια γραμμένα· μόναξος ὅδευε καὶ ἀσκόπως. Μὴ ὅλως συγκαθίζεις τινὰ ἀλλὰ συντυχένης αὐτούς, χάννης τὸν ψῆφον τῆς δικαιοσύνης· κρούει ὁ νοῦς σου εἰς λογισμὸν τῶν ἀνθρώπων καὶ

4 voluitne βινεῖς? 5 εἰμί pro ἐμέ ut vid. 7 voluit οὐ χρήζω σε. 21 fort fuit ἐκ τῶν κ. κ. τ. τρ. οὐρανόν ἐκ. 24 fort. ἐν τῇ σοφίᾳ. 31 σημάδια ἀπελασίας a Salomone inventa characteres esse videntur ad aspellendos daemones idonei.

χάννης αὐτόν· μοναχός σου καθέζου, ἵνα ἀπεξουσιάσεις ἅπαντα. Καὶ σοφίαν ἔχε πᾶσαν, τὴν γραμμάτησίν σου ψηφολόγει καὶ μέτρα καὶ ἀριθμὸν ἔχε καὶ μελέτησιν· μοναχός σου ἀνάγνωθι· ἔχε τὸν νοῦν σου εἰς τὴν ἰδικήν σου γραμμάτησιν, ἵνα δόκιμος γένησαι· ἀλλ' ἀγωνίζου αὐτά· μέτρον μέτρον μέτρον καὶ ἐξειμέτριζε αὐτά· σοφικῶς ἀγωνίζου καὶ μὴ ἀμελῇς αὐτῶν.

Ἅρμυς· ξύρισκος· ὀνευτῆς· ὁπολίφθηκος· φορυγμός· σύνισμος· ὀχνοίστις· ἀθνηστικῶς· πλέρωμα· τὰ τῶν ἓξ ἑστηκῶς· νιχισμόλλος, καὶ ἀπονύχισμα ἐνιχίσωμεν· ἓξ τὰς τῶν σῶν ἔχωμεν· ἅλμη εἰσύ· ξοροιστικῶς· συνοδρόκος· ἀπάρτεως· σύνμιλγγος· ὀξυστικῶς συνέλαβον· ἐὰν μὴ συνεγκάλεις με, ἀγκαλιστικῶς φιλεῖς με· πλεῖσμα· κλειστικῶς· σουρούφισμα· σουρουφιστικῶ· ἄνθεον· πιστικώνυμον· τί εἶτον ἀπορηγμένον· τί εἶτον σημέρικον· ἀνιθέσμω· ἀνιγόρηντο; τίς τούτων προσεκάκησεν· τίς τούτων προσεβάλλοντο· συνεμερικῶς· συνάλμωσιν· ἐφόρηντο συνήθεις· ἀγαλλιᾶσθε ἡ πρὸ ἐντήσις· ἄνικμον ὄντως.

F. 134v. Ἀρχικῶς καταφησόμενος τατερεύνησης καταθήσεως ἄρτεως· τιμύς· ἀρτικυνός· πλείσταντος· ἐνθυμώτατος· καὶ ἀξιριγόμενα τῆς καταμῆνος ἐπτ..οσμῆνος καταφοίτ(α). τῶν ζ' ἀδελφῶν στίχ(οι) ἑκατερυχθήσαντες εἰς Φιλίππους ἐνταύθις· ἀριστερὸν μέρος τῆς ἐκκλησίας μέσον εἰς βάλτος καὶ εἰς ὕδωρ εἰστήκει κίων καὶ ἑρμηνεύει. εἰς δεξιὸν μέρος αὐτ(οῦ) εἰσι δύο κιβούρια, πλησίον δὲ τοῦ κιονίου εἰσὶν ζ' ἀδελφοί, ἐξ ἀριστερῶν δέ ἐστιν ἡ ἀδελφὴ αὐτῶν καὶ ἄνω αὐτῆς ἐστι τὸ πρᾶγμα τῶν ζ' ἀδελφῶν. καὶ πρὸς τὸ ἀριστερὸν μέρος εἰσὶ στίχοι τῶν ζ' ἀδελφῶν. τέτταρες στίχοι εἰσὶ διὰ τοῦ ὕδατος, ὅπερ ἔφερον οἱ ἓξ ἀδελφοὶ διὰ ρο' νυχθήμερα· καὶ ὁ ἕτερος ἀδελφὸς ἔκτισε τὸ λουτρὸν διὰ νυχθήμερα τρία· ἔχει κιόνια γύρωθεν τοῦ λουτροῦ ρο' καὶ πησοὺς ρλ' καὶ ἤφερον διὰ μιᾶς νυκτὸς δεξαμένας κε' μαρμαρίνας καὶ ἔθηκαν αὐτὰς εἰς τὸ λουτρόν. οἱ δὲ ἓξ ἀδελφοὶ ἔγειρον καμάρας τρισχιλίας ἑξήκοντα, ἵνα φέρουν τὸ ὕδωρ. πλήρωμα δὲ τῶν ρο' νυχθηκέρων ἔβαλον τὸ ὕδωρ εἰς τὸ λουτρόν, εἶθ' οὕτως ἐτελεύτησαν καὶ ἔβαλον τὴν ἀδελφὴν αὐτῶν εἰς κιβούριον καὶ ἄνωθεν ἔβαλον ἑπτὰ χαλκουτζίκια. ὀψιλῶς περιπατεῖ καὶ ἀκριβῶς γυρεύει καὶ ψηλαφεῖ, πάντως καὶ διὰ πάντων εὑρίσκει πράγματα καὶ στίχους πολλούς.

3 ἀνάγνωθε cod. 4 ἐδικήν cod. 6 αὐτῶ cod. 9 unguium resectorum quantus in magia usus, satis constat. Cf. Riess ap. Pauly-Wiss., I, 85; Hesiod. op., 742; Plin. 28, 86; Lapid. gr., 41, 1; Kaegi, *Abh. f. Schweizersidler*, 63; *Liebrecht zur Volkskunde*, 319, 367. fuitne ὀνυχίσωμεν? 11 ἀγγαλιστικῶς cod. 19 nempe εἰς ἀρίστ. 20 εἰς] ἐκ cod. 22 ἀριστερὸν cod. 27 πίσους volebat opinor. 33 πάντων καὶ διὰ πάντως cod.

Incantamenta varia [1].

In cod. 12 = med. gr. 27 (cf. p. 56) f. 122v hoc extat incantamentum: Πρὸς τὸ στῆσαι αἷμα εἰπὲ οὕτως· ἐκ τῆς ἀβροχίας τοῦ ἁγίου Ἠλία ἔτη τρία· οὐρανὸς οὐκ ἔβρεξεν ἔτη τρία καὶ μῆνας ἕξ· ὁ οὐρανὸς ἀπὸ χαλκοῦ καὶ ἡ γῆ ἐσιδηρώθη. ἀλλὰ ἀπόστειλον τὸν ἄγγελόν σου τὸν Ῥαφαὴλ καὶ δῆσον καὶ βούλωσον τὰς φλέβας τοῦ δούλου τοῦ θεοῦ τοῦ δεῖνος εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας.

F. 182. Εἰς ῥίγον.

<Γ>ράψον εἰς μῆλον ἢ εἰς κυδώνιον ἢ εἰς πρόσωπον ψωμίου καὶ δίδου ἐσθίειν, ὅταν μέλλῃ ταράσσεσθαι. Χριστὸς ἐγεννήθη, Χριστὸς ἐβαπτίσθη, Χριστὸς ἐσταυρώθη, Χριστὸς ἐτάφη, Χριστὸς ἀνεβίω τριήμερος διώκων τοὺς δαίμονας· διὸ φεῦγε καὶ σύ, ῥιγοπύρετον τριταῖε τεταρταῖε καὶ ἐφημερινέ, ἀπὸ τοῦ δούλου τοῦ θεοῦ τοῦ δεῖνος· εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. ἀμήν.

Subiungo similia e cod. medic. graec. 52, ubi talia extant inde a fol. 87v. — F. 91v. Πρὸς τὸ στῆσαι αἷμα. Κύριε ὁ θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ ὁ στήσας τὸν Ἥλιον κατὰ Γαβαὼ καὶ τὴν Σελήνην κατὰ Φάραγγα, στῆσον τὴν φλέβα τοῦ αἵματος.

F. 92. Πρὸς τὸ στῆσαι αἷμα ῥινός. Γράφε εἰς τὸν ὠμοπλάτην τοῦ ἀνθρώπου· Στήτω ὁ Ἥλιος κατὰ Γαβαὼ καὶ ἡ Σελήνη κατὰ Φάραγγα.

4 ἄγγελός cod. 9 πρόσπ' cod. 11 ἀνεβίω incertum.

[1] Addo similem formulam e cod. phil. gr. 220, in quo astrologica non occurrunt; nam quae in f. 187 extat inscr. (vel subscr.) Στεφάνου ἰατροῦ Ἀθηναίου φιλοσόφου, ad astrologum certe non pertinet.

DOROTHEI SIDONII FRAGMENTA METRICA

DOROTHEI SIDONII FRAGMENTA METRICA

Dorothei versus ab Hephaestione servati[1].

Dorothei poetae olim in hoc litterarum genere nobilissimi versus infra edimus paene omnes qui aetatem tulerunt; nam praeter eos quos Hephaestion transcripsit (qui multo plures in solutam orationem transformavit), hi tantum mihi noti sunt.

I. Rhetor. c. 2 (*Catal.*, I, 146), Iulianus Laodic. (*Catal.*, IV, p. 105), Iulianus Halicarn. (ed. Usener, *Rhein. Mus.*, N. F. LV, 332) :

Σχήμασι τριπλεύροις κακοεργέες ἀμβλύνονται·
ἀστὴρ δ' οὐκέτι φαῦλος, ἐπὴν ἀγαθὸν τόπον εὕρῃ·
οὐδὲ τόπος δὲ κακός, χρηστὸν ὁπότ' ἀσπάζοιτο.

II. Tzetz. in Hom., p. 827 B. (citatus a Roepero *Lectiones Abulpharagianae*, 1844, p. 45, qui de Dorotheo pluribus disputat) :

πολλὰ δὲ ναυμαχίῃσιν ἕνι σκάφη ἐξαπολεῖται.

III. Anon. in Ptolem. tetrab., p. 140 (Roeper, l. c.) : ἐπικάμπτια δὲ λέγει τὰ τετράγωνα τῶν ἐκλειπτικῶν συνδέσμων· οὕτω καὶ παρὰ Δωροθέῳ ἔχεις εἰρημένον· ἐπικάμπτια λυγρά.

IV. Caput in *Catal.*, II, 195, Δωροθέου περὶ ἐπεμβάσεων vestigia dictionis epicae servavit complura a nobis distincta, quorum gravissima sunt haec :

201, 12 λέχος ἀντήλλαξε καὶ ἥττονι φωτὶ συνῆψεν.
202, 3 ἐκ δ' ἀλόχων πηῶν τε φιλοφροσύνην κατὰ δῶμα.
202, 16 νωχελίην θυμοῦ καὶ ἀεργείην ἅμ' ὀπάζει.
202, 21 Ζῆνα τριγωνίζων Φαίνων μάλα γ' ἐσθλὸς ὑπάρχει.
202, 23 Πυρόεντι τρίγωνος ἐὼν Φαίνων μέγ' ἄριστος.

V. Versus novem a Palcho servati, *Catal.*, I, p. 108, cf. supra, p. 67.

4 ἐπεὶ ... εὕροι codd. 5 ὅτε ἀσπάζεται L.

[1] Hephaestion nobis traditur codicibus A (Paris. 2841) in libri tertii capite quinto deficiente, de quo quae refero Engelbrechtio debeo, et P (Paris. gr. 2417), cum quo versus Dorotheanos ipse contuli; apographi tantum vices gerit Matri-

De finibus.

Hephaest., I, 1, p. 47, 26, διεῖλον δὲ τὰ ὅρια [sc. τοῦ Κριοῦ] οἱ παλαιοὶ Αἰγύπτιοι καὶ Δωρόθεος [δὲ add. P] ἐμμέτρως οὕτως·

ἓξ δ' ὁρίων ἐπέχει μοίρας Φαέθων ἐνὶ τούτῳ
τὰς πρώτας· μετέπειτα δ' ἴσας λάχεν ἡ Κυθέρεια·
ὀκτὼ δὲ Στίλβων τρίτατος, Πυρόεις δέ τε πέντε·
τὰς δ' ὑπολειπομένας ἔλαχεν Φαίνων ἴσα Θούρῳ.

Hephaest., I, 1, p. 49, 17, de Tauro : τὰ δὲ ὅρια οὕτως·

† ὀκτὼ δ' ἔλαχε πρώτας ὁρίων μοίρας Κυθέρεια
ἐν τούτῳ· Στίλβων δὲ μετ' αὐτὴν ἔλλαχε μοίρας
δὶς τρεῖς· καὶ Φαέθων ἔλαχ' ὀκτώ, πέντε δὲ Φαίνων·
τὰς δ' ὑπολειπομένας ἔλαχεν Πυρόεις μετὰ τούσδε.

Hephaest., I, 1, p. 51, 2, de Geminis : τὰ δὲ ὅρια οὕτως·

Στίλβων δ' ἐν τούτῳ προτέρας ἓξ ἔλλαχε μοίρας,
τὰς δ' ἴσας Φαέθων· τριτάτη Παφίη λάχε πέντε,
ἑπτὰ δὲ θοῦρος Ἄρης, ἓξ δ' αὖ Φαίνων μετέπειτα.

Hephaest., I, 1, p. 52, 18, de Cancro : τὰ δὲ ὅρια οὕτως·

ἑπτὰ δὲ τὰς προτέρας ὁρίων μοίρας λάχε Θοῦρος
ἐν τούτῳ· μετέπειτα δέ <θ'> ἓξ λάχεν ἡ Κυθέρεια·
τὰς δ' ἴσας Ἑρμῆς, φαέθων Ζεὺς ἑπτὰ μετ' αὐτόν·
δὶς δὲ δύω πυμάτας ἔλαχεν Κρόνος ἀγκυλομήτης.

Hephaest., I, 1, p. 54, 9, de Leone : τὰ δὲ ὅρια οὕτως·

ἓξ δ' ἐπέχει Φαέθων προτέρας μοίρας ἐνὶ τούτῳ·
πέντε δ' ἔχει Παφίη, Φαίνων δ' ἔχει ἑπτὰ μετ' αὐτήν·
ἓξ δ' ἔχει Ἑρμείας, πυμάτας δ' ἓξ ἔλλαχεν Ἄρης.

Hephaest., I, 1, p. 55, 25, de Virgine : ἡ δὲ τῶν ὁρίων τάξις οὕτως.

ἑπτὰ δὲ τὰς προτέρας ἔλαχε Στίλβων ἐπὶ τοῦδε
μοίρας, καὶ δέκα Κύπρις ἔχει· Φαέθων δὲ μετ' αὐτήν
τέσσαρας, ἑπτὰ δ' Ἄρης, πυμάτας δύο δ' ἔλλαχε Φαίνων.

1 ἐπεῖχε A P, corr. Salmas. τούτων P. 2 κἄπειτα P. 3 τρίτατον P. 4 εἰς ἀθούρω P. 5 ὀκτὼ ἔχει Ludwich. 6 δὲ στίλβων P. ἔλαχε A P, corr. Matrit. 8 ὑπολειμένας A P. 9 ἓξ om. A ut vid. 10 τριτὰ τῇ P, τρίτας A. 14 ἑρμίας P, ἑρμείας A, possis τῇ δ' ἴσα Ἑρμείας. 16 προτέρας bis P. ἐν P. 17 δ' post Φαίνων om. A. 18 ἔλαχεν P. 20 μετ' Ludwich] κατ' A P.

---

tensis octoginta fere versus exhibens ab homine aliquo docto ex Hephaestionis codice A ut videtur excerptos; de quo cf. Engelbrecht p. 14. In vitiis codicum exscribendis modicus fui; γαιγαῶτι igitur pro γεγαῶτι et λύσιεν pro λύσειεν et similia raro tantum attuli.

Hephaest., I, 1, p. 57, 17, de Libra : τὰ δὲ ὅρια οὕτως·

ἓξ δ' ὁρίων μοίρας ἔλαχεν Φαίνων ἐνὶ τούτῳ·
ὀκτὼ δὲ Στίλβων, ἀστὴρ μέγας Ἑρμάωνος·
ἑπτὰ δὲ Ζεὺς φαέθων, Παφίη δ' ἴσας λάχεν ἑπτά·
τὰς δ' ὑπολειπομένας δισσὰς λάχεν Ἄρεος ἀστήρ.

Hephaest., I, 1, p. 59, 7, de Scorpio : τὰ δὲ ὅρια οὕτως·

ἑπτὰ δέ τοι μοίρας ὁρίων Πυρόεις λάχε τούτου,
τέσσαρας αὖ Παφίη, ὀκτὼ Στίλβων μετέπειτα,
πέντε Ζεὺς φαέθων, πυμάτας δ' ἓξ ἔλλαχε Φαίνων.

Hephaest., I, 1, p. 61, 10, de Sagittario : τὰ δὲ ὅρια οὕτως·

δώδεκα δὲ προτέρας Φαέθων μοίρας λάχε τούτου·
πέντε δέ τοι Παφίη, τρίτατος Στίλβων μετὰ τούσδε
τέσσαρας Ἑρμείας ἔλαχεν, Φαίνων δέ τε πέντε·
τὰς δὲ ὑπολειπομένας Ἄρης λάχε δὶς δύο μοίρας.

Hephaest., I, 1, p. 63, 7, de Capricorno : τὰ δὲ ὅρια οὕτως·

ἑπτὰ δὲ τὰς πρώτας ἔλαχε Στίλβων πάλι μοίρας·
ἑπτὰ δέ τοι Φαέθων, δὶς τέσσαρας ἡ Κυθέρεια·
Φαίνων δὶς δύ' ἔχει, πυμάτας δ' Ἄρης ἴσα τούτῳ.

Hephaest., I, 1, p. 64, 21, de Aquario : τὰ δὲ ὅρια οὕτως·

ἑπτὰ δὲ τὰς προτέρας Ἑρμῆς λάχεν, εἶτα μετ' αὐτόν
ἓξ μοίρας Κύπρις, Φαέθων μετέπειτα λάχ' ἑπτά·
πέντε δὲ θοῦρος Ἄρης, πυμάτας δὲ Κρόνος λάχε πέντε.

Hephaest., I, 1, p. 66, 8, de Piscibus : τὰ δὲ ὅρια οὕτως·

δώδεκα δὲ προτέρας μοίρας λάχε Κύπρις ἀπάσας,
δὶς δὲ δύω Φαέθων, Στίλβων τρεῖς, ἐννέα Θοῦρος,
τὰς δ' ὑπολειπομένας δισσὰς Φαίνων λάχε μοίρας.

Quae regiones singulis signis subiaceant.

Hephaest., I, 1, p. 47, 16, Eng. de Ariete : τούτῳ δὲ ὑπόκειται·

ἀρχαίη Βαβυλών, Τυρίου Βήλοιο πόλισμα,
ὕστατα δ' Ἀρραβίη, γείτων χθονὸς Αἰγύπτοιο.

Hephaest., I, 1, p. 49, 11, de Tauro : προσοικειοῦνται δὲ αὐτῷ <αἱ> χῶραι οὕτως·

θηρὶ δ' ὑπέστρωται κλίμα Μηδικὸν Ἀρραβίη τε
ἡ δὲ καὶ εὐβώλοιο καλὸν πέδον Αἰγύπτοιο.

24 λαχαινα P. 28 ἔλαχε P. 30 τρίτας A P, corr. Koechly. 33 πάλιν A P. 34 τι A. 37 μοίρας om. A ut vid. 41 ὑπόκεινται P. 42 ἀρχαῖοι P. βύλοιο P. 43 ὕστατος P. αἰγύπιοι P. 45 αἰγυπτίοιο A.

Hephaest., I, 1, p. 50, 26, de Geminis : ὁμοίως κατὰ Δωρόθεον·

ἔστι δὲ φωνῆεν κλίμα Καππαδοκῶν ὑπὸ τῷδε
ἠδέ τε Περραίβων καὶ Φοινίκων θεοτεύκτων.

Hephaest., I, 1, p. 52, 12, de Cancro :

τῷ δ' ὑπὸ Θρηϊκίων καὶ Αἰθιόπων κλίμα κεῖται.

Hephaest., I, 1, p. 54, 5, de Leone :

τῷ δ' ὑπόκειθ' Ἑλλὰς Φρυγίη θ' ἅμα καὶ στόμα Πόντου.

Hephaest., I, 1, p. 55, 17, de Virgine :

τῇ δ' ὕπο πᾶσα Ῥόδος καὶ Κυκλάδες ἄμμιγα νῆσοι
καὶ δρύες Ὠγύγιαι, ἃς Ἀρκάδες ἄνδρες ἔδεσκον,
καὶ βαθυδινήεις τε μέγας ῥόος Ὠκεανοῖο
καὶ κλίμ' Ἀχαϊκὸν ἔσχε † Λακωνίδας ἠδὲ Λακώνων.

Hephaest., I, 1, p. 57, 8, de Libra :

καὶ κλίμα Κυρήνης ὑπὸ χηλαῖς
Ἰταλίη χώρη τε πέλει πλάστιγγας ὑπ' αὐτάς.

Hephaest., I, 1, p. 59, 1, de Scorpio :

ὑπὸ δ' αὐτῷ ἔπλετο πᾶσα
Καρχηδών, Τυρίης Διδοῦς χερὶ δωμηθεῖσα,
Ἄμμωνος Λιβύη † τ' ἐπ' ὄμμασι Σικελίη χθών.

Hephaest., I, 1, p. 60, 25, de Sagittario :

ἕστρωται δ' ὑπὸ τῷδε βαθύπλουτον κλίμα Γάλλων
καὶ Κρήτη, Κρονίδαο Διὸς τρόφος· ἡ δέ γε Μυσῆς
ἁρπαγίμης ὑμέναιος ἔφυ κρατερῆς Εὐρώπης.

Hephaest., I, 1, p. 62, 30 de Capricorno :

τῷ δ' ὑπὸ Κιμμερίη τέταται χθὼν ἡ πανέρημος.

De trigonis.

Hephaest., I, 6 (Περὶ τῶν τριγώνων ὡς Δωρόθεος).

Κριὸς χαιτήεις τε Λέων τόξοιο τε ῥυτὴρ
ἥματι Ἠελίοιο, Διὸς δέ τε νυκτὶ ἔασιν
ἀλλάγδην· αἰνὸς δὲ Κρόνος τριτάτην λάχεν αἶσαν.
Ταύρου Παρθενικῆς καὶ Αἰγόκερω κρατέουσιν

46 τόδε P. 47 περεβίων A. περρεβίων P. 48 θρηκίων A. 51 ἃς om. A. 52 βαθυδινίης P, βαθυδίνης A. ὠκεανοῖς P. 53 ἀχαικον A P, corr. Koechly. λακωνίδος A. 54 κορήνης P. 56 αὐτὸν A P, corr. Koechly. 57 καλχηδών A P, corr. Iriarte. χειρὶ A P. 58 ὑπ' pro ἐπ' A. 60 κρονίδου A, κρονίδω P. ἠδέ τε A P, ᾗχί τε νύμφης Koechly. 62 κιμερίη A P. τέτατται P. 63 Cf. Bouché-Leclercq, p. 203. τοξότοιο A. 64 ἥματα A, corr. Engelbr., ἥματος Salm. (item v. 67).

ἥματι Ἀφρογενής, νυκτὸς δέ τε δῖα Σελήνη,
καὶ τρίτατος μετὰ τοῖσι θεὸς πολεμοῖσιν ἀνάσσων·
ἐν δέ νυ Παρθενικῇ Μαίης προσλάμβανε κοῦρον.
ἐν Διδύμοις Ζυγῷ τε καὶ Ὑδροχόῳ κρυόεντι
ἡμάτιος Φαίνων, ἀτὰρ ἔννυχος Ἀργειφόντης·
τούτων δ' ὑστατίην Κρονίδης μοιράσατο τάξιν.
Καρκίνον αὖτε λάχεν καὶ Σκορπίον ἠδέ τε λοίσθους
Ἰχθύας ἡματίη Κύπρις, Πυρόεις δέ τε νυκτός,
καὶ μετὰ τοὺς ἑλικῶπις ἔχει βασίλισσα Σελήνη.

De locis quibus gaudent stellae.

Hephaest., I, 7.

Ἐκ δ' ἄρα τοι τούτων μᾶλλον Κρόνος Ὑδροχοῆϊ,
Ζεὺς δ' ἐνὶ Τοξευτῇ, καὶ Σκορπίῳ ἥδεται Ἄρης·
Κύπρις δ' ἐν Ταύρῳ γάνυται νόον, ἐν δέ νυ Κούρῃ
Ἑρμείας. εἷς δ' ἔστι δόμος φωστῆρος ἑκάστου.

De altitudinibus.

Hephaest., I, 8.

Ἥλιος Κριοῖο κατ' ἐννέα καὶ δέκα μοίρας
ὑψοῦται· Μήνη δὲ περὶ τριτάτην Ταύροιο·
εἰκοστῇ δὲ μιῇ Ζυγοῦ Κρόνος· Αἰγίοχος δὲ
Καρκίνου ἐν δεκαπέντε· καθ' ἑβδομάδος δὲ τετάρτης
Ἄρης Αἰγόκερω· περὶ δ' ἐννέα τρισσάκι Κύπρις
Ἰχθύσι· Παρθενικῇ τριτάτης κατὰ πεντάδος Ἑρμῆς·
αἱ δὲ ταπεινώσεις ὑψώματος ἐν διαμέτρῳ.

De parentibus.

Hephaest., II, 4. Περὶ γονέων .... ὁ δὲ Δωρόθεος ἐν τοῖς ἔπεσι συμβουλεύει τοὺς τριγωνοκράτορας τῶν φώτων σκοπεῖν καὶ αὐτὰ τὰ φῶτα, ἐν ποίοις τόποις τυγχάνουσι καὶ ὁρίοις καὶ τίνες τῶν ἀστέρων σύνεισιν ἢ ὁρῶσιν. καὶ πρὸς τούτοις ἀποφαίνεσθαι χρὴ περὶ ἑκατέρου τῶν γονέων, Ἡλίου μὲν δηλονότι σημαίνοντος τὰ περὶ τὸν πατέρα, Σελήνης δὲ τὰ περὶ τὴν μητέρα. ἐὰν μὲν οὖν συνῇ ἀγαθοποιοῖς τόποις τε καὶ ἀστράσιν ὁ Ἥλιος, ὑπονοητέον εὐτυχῆ καὶ πλούσια τὰ περὶ τὸν πατέρα καὶ αὐτῷ τῷ τέκνῳ τὰ πατρῷα φυλαχθήσεσθαι· ὁμοίως καὶ ἡ

67 νυκτὶ A, corr. cod. Matr. 69 προσλαμλάβαν A. 70 Διδύμοισι Salm., Διδύμοις δὲ Koechly. 73 τε] τοι A. 74 ἥματι A, corr. Koechly. 76 Enumeratio domuum praecessisse putanda est. ὑδρηχόω A. 85 Παρθενικῆς Matr. τρίτης A. 86 ὑψώματα A. 6 συνῇ om. P.

Σελήνη τυχοῦσα τὰ αὐτὰ ποιεῖ. τὸ δὲ ἐναντίον συμβήσεται ἐναντίως εὑρεθέντων τουτέστι κακωθέντων τῶν φώτων· εἴωθε γὰρ πρὸς ταῖς δυσπραγίαις καὶ σίνη ἐν τοῖς σώμασι τῶν γονέων ποιῆσαι. ἐν δὲ ταῖς ἐσχάταις μοίραις τυχόντα τῶν ζῳδίων τὰ φῶτα, μάλιστα τῶν κακοποιῶν ὁρώντων, ἄδοξα τὰ περὶ τοὺς γονεῖς σημαίνει· κἂν ἐν τοῖς ἐκλειπτικοῖς δὲ τυγχάνουσα ἡ Σελήνη, κἂν ἐν ἀγαθοποιοῦ ὁρίοις ᾖ, τὸ μὲν γένος ἐλεύθερον πενιχρὸν δὲ καὶ ὑποτεταγμένον καὶ δούλια ἔργα ποιεῖν σημαίνει.

87 ἐν δ' ἄρ' ὑποχθονίῳ κέντρῳ κερόεσσα Σελήνη ***

καὶ ἐνταῦθα ὡς ἐπὶ τοῦ Ἡλίου σκέπτου τὴν μητέρα.

Ἔστι δέ, φησί, καὶ τρόπος ἄλλος. τὰς ὥρας τῆς γενέσεως λαβὼν ἔκβαλε ἀπὸ τοῦ ζῳδίου ἐν ᾧ ἐστιν ὁ Ἥλιος ἑκάστῳ ζῳδίῳ ἐφεξῆς μίαν ὥραν διδούς· καὶ εἰς ὃ ἂν λήξῃ ζῴδιον ὁ ἀριθμός, ἐκείνου τὰ κέντρα σκόπει καὶ τὰς ἄλλας σχέσεις καὶ λέγε τὰ κατὰ τὴν μητέρα. καὶ πάλιν ταῦτα λέγει·

88 Ἡέλιος δύνων τοκέων χωρισμὸν ἔτευξε.

De parentibus.

Hephaest., II, 5. Περὶ προτελευτῆς γονέων. Σκέπτου ἐν τῇ γενέσει, ποῖον τῶν φώτων κεκάκωται, καὶ ἀπ' ἐκείνου στοχάζου περὶ τοῦ προλαμβάνοντος θανάτῳ τῶν γονέων· καὶ τοὺς κλήρους δὲ αὐτῶν ὅρα, τίς μᾶλλον κεκάκωται, καὶ ὁμοίως στοχάζου. ἐπίβλεπε δὲ καὶ τοῦτο, ποῖον τῶν φώτων ἐν τῇ γενέσει στρεφομένης τῆς τοῦ παντὸς φορᾶς πρῶτον ἔρχεται εἰς τὸ ὑπόγειον, καὶ οὕτω λογίζου τὸν προλαμβάνοντα· σημαίνει γὰρ τὴν προτελευτήν.

89 καὶ γενέτην ὀλέκουσι παροίτερον ἠὲ τεκοῦσαν.

ταῦτα μὲν ὁ Δωρόθεος· καὶ τοῦτο δέ φησιν, ὅτι Ἄρης τυγχάνων μετὰ Κρόνου καὶ μάλιστα ἐπίκεντροι.

De fratribus.

Hephaest., II, 6 (Περὶ ἀδελφῶν)... Ὁ δὲ Δωρόθεος οὕτως·

90 ὅσσοι Τοξότεω βλοσυροῦ τ' ἐφύπερθε Λέοντος.

εἰ δὲ ὠφελοῦνται ἐξ ἀλλήλων, σκεπτέον ἔκ τε τοῦ κλήρου τῆς τύχης καὶ τῶν κλήρων τῶν ἀδελφῶν καὶ ἐκ τῶν ὁρώντων αὐτοὺς ἀστέρων ἢ ἐπόντων.

2 τῶν φ. τουτ. κακωθ. P. 7 δούλεια AP. 9 sequentes versus et hic et infra inertia librariorum perisse videntur. 10 καὶ om. P. nempe τοῦ Ἡλίου <τὸν πατέρα, οὕτως ἐπὶ τῆς Σελήνης>. 13 μίξη A. an τὸν κύριον? 16 χωρισμῶν ἔτευξαν P. 20 δὲ om. P. 21 τίς A, ἧς P. 25 hic quoque ceteri versus omissi esse videntur. 30 stellae, quae in Sagittario aut in Leone positae sunt, fratres dant. ὅσως et βλοσυρῶ P.

De infantibus modo genitis.

Hephaest., II, 10. Λέγει δὲ καὶ ταὐτὸ Δωρόθεος ἐν τοῖς περὶ χρόνου ζωῆς· <ἀρίθμει>, φησί, ἐπὶ τῶν νυκτερινῶν γεννωμένων ἀπὸ Ἄρεως ἐπὶ Κρόνον καὶ τὰ τοσαῦτα ἔκβαλλε ἀπὸ τοῦ ὡροσκόπου· καὶ ἐὰν καταλήξῃ εἴς τι ζῴδιον, οὗ κυριεύει Κρόνος ἐπίκεντρος ὤν, ἄτροφον γεννᾶται. ἐπὶ δὲ τῶν ἡμερινῶν ἔμπαλιν ἀπὸ Κρόνου ἐπὶ Ἄρεα καὶ τὰ ἴσα ὁμοίως ἀπὸ τοῦ ὡροσκόπου· καὶ ἐὰν τοῦ τόπου, εἰς ὃν καταλήξει, Ἄρης ἐπίκεντρος ὢν κύριος εὑρίσκεται, ἄτροφον ὁμοίως ποιήσει· κἂν Ἄρης δὲ καὶ Κρόνος ὑπόγειοι ὄντες ἐν θηριώδεσι ζῳδίοις καὶ τὴν Σελήνην ὁρῶσι, τὸ παραπλήσιον ποιοῦσιν.

De corporis vitiis.

Hephaest., II, 13. Περὶ σινῶν καὶ παθῶν σωματικῶν exposita Ptolemaei sententia pergit: τὰ δὲ παρὰ Δωροθέῳ ὁμοίως σύμφωνα τούτοις· ταῦτα σκεπτέον φησίν. τὸ ς' ζῴδιον θηριῶδες ἢ δίυγρον ἢ καὶ αὐτὸς ὁ τοῦ οἴκου κύριος ἐν τοιούτῳ ζῳδίῳ σίνη ποιοῦσιν· καὶ ὁ μὲν Κρόνος τὰ διὰ ῥευμάτων, ὁ δὲ Ἄρης διὰ καύσεων ἢ θηρίων δηγμάτων ἢ καὶ δορυαλώσεων. ὁ δὲ Ζεὺς κεκακωμένος οὕτως ἐξ οἰνοποσίας ποιεῖ τι κακόν, ἔσθ' ὅτε καὶ τὸ ἦπαρ οἰδαίνει.

Hephaest., II, 14. (Περὶ κλήρου σίνους)... Dorotheus τοῦ τε ὑποχθονίου κέντρου φησὶ τοὺς τριγωνοκράτορας σκοπεῖν...

91 εὖτε μεσουρανέοντος ὑπὲρ ζῳοιο φέρηται.

οὐ μόνον δὲ ἐν τῷ ὑποχθονίῳ κέντρῳ, ὡς εἶπεν, οὔσης τῆς Σελήνης γεννῶνται μικροφυεῖς, ἀλλὰ καὶ αὖθις οὔσης ἐγγὺς τῆς συνόδου μετὰ Κρόνου καὶ ἐν τῷ δυτικῷ ὁρίζοντι· ἀπὸ παρατηρήσεως γὰρ καὶ οὕτως εὑρέθη.

De honoribus adipiscendis.

Hephaest., II, 18. (Περὶ τύχης ἀξιωματικῆς)... καὶ τὰ παρὰ τοῖς ἄλλοις δὲ καὶ Δωροθέῳ ἐκτιθέμεθα, ἵν' ἐκ πολλῶν δοκίμων τῆς ἀληθείας τὴν συμφωνίαν λάβοιμεν. σκεπτέον οὖν <φησιν> ὁ Δωρόθεος ἀπὸ τῶν τριγωνοκρατόρων οὕτως·

92 τριπλεύρου κρατέοντας, ἐν ᾧ θεὸς Ἥλιός ἐστιν.

φησὶ δὲ δεῖν καὶ τῆς ὥρας τὸν κύριον καὶ τοῦ μεσουρανοῦντος καὶ τοῦ βίου πῶς κεῖνται ἐν τῇ γενέσει. ἐὰν γὰρ εὑρεθῶσι καλῶς κείμενοι, καλὰ σημαίνουσιν, ἂν δὲ ἐναντίως, ἐναντία, ἂν δὲ μέσως, μέσα etc.

2 Adhibui praeter P etiam Vindob. 1, f. 341, cf. supra p. 72. 3 suppl. e Vindob. τῶν νυκτῶν γενν. Vindob. 17 οἰνοποσιτίας P. 21 sc. Luna. μεσουρανήματος P. 23 fort. αὐτῆς. 28 δωροθέου P. Vide etiam versum ex eodem capit. editum supra p. 67, 3.

De militia.

Hephaest., II, 19. (Περὶ πράξεως ποιότητος) enarratis Ptolemaei praeceptis : ταὐτὰ σχεδόν φησι Δωρόθεος λέγων οὕτως· ... ἐκκείσθω πάλιν τὰ παρὰ Δωροθέῳ τοιαῦτα οὕτως· [περὶ κλήρου στρατείας]

93 δίζεο καὶ πρῆξιν τίς τ' ἀνέρος ἐστὶν ἑκάστου.

τῶν μέντοι κέντρων προτάττει τὸ μεσουράνημα, δεύτερον τὸ ὑποχθόνιον, τρίτον τὸν ὡροσκόπον, τέταρτον τὸν κλῆρον τῆς τύχης· τοῦ γὰρ δύνοντος οὐ μνημονεύει.

94 ὅσσοι δὲ ἐν στρατίῃσι φιλοπτολέμοισιν ἔσονται,
τῇδε διδαγμοσύνῃ πεπνυμένος ἐξαγορεύσεις.
πρῶτα μὲν ἐκ Φαίνοντος ἀρίθμεε μέχρι Σελήνης,
ἐξ ὥρης δὲ μεταῦθις· ἐπὴν δὲ τοιοῦτος ἀριθμός
Σκορπίου εἰσαφίκηται ἢ ἐς δέμας Ἀρνειοῖο
οἴκους εἰς Ἄρεως, ἢ ἀστέρος ἀγκυλομήτεω
100 Αἰγοκέρωτα καὶ Ὑδροχόον, στρατίῃσιν ἔνεσται
κεῖνος ἀνήρ· κῆν κέντρον ἔχῃ πτολιπόρθιος Ἄρης
λεύσσων ἀγλαὰ φῶτα καὶ ἢν βεβάῃσιν ἐν ὥρῃ,
† αὐγὴν εἰς πρῆξιν δὲ λάχει βιότοιο μερίζει.
οὐ μὴν ἐν στρατίῃ ποτὲ κύδιμος ἔσσεται ἀνήρ,
105 εὖτέ νυ μὴ σύγκρασιν ἔχῃ Κρονίδης τε καὶ Ἄρης.

De nuptiis.

Hephaest., II, 21. (Περὶ γάμου ἤτοι συναρμογῶν)... πάλιν δὲ καὶ τὰ ἐν τοῖς ἕπεσι Δωροθέου ἐκ τῶν Νεχεψῶ καὶ τῶν ἄλλων σύνθετα ἐπισυνάψωμεν·

106 αὐτίκα δ' ἀμφὶ γάμοιο διδάξομεν ἱμερόεντος.

ὅταν οἱ μὲν τριγωνοκράτορες ἐν κακοῖς ὦσι τόποις, ἡ δὲ Ἀφροδίτη ἐν καλοῖς, καὶ οὕτω καλῶς γαμοῦσι, μετά τινος μέντοι ζημίας. ἐὰν δὲ ἡ Ἀφροδίτη ἐν κακοῖς, οἱ δὲ τριγωνοκράτορες ἐν καλοῖς, Ζεὺς δὲ καὶ Ἄρης αὐτὴν ἐπίδωσι, ποιεῖ φησι

107 ῥεμβάδα καὶ φοιτῶσαν, ὅπῃ κύρσειεν ἑταίρους.

ἡνίκα δὲ ὁ μὲν πρῶτος τριγωνοκράτωρ καλῶς κεῖται, ὁ δὲ δεύτερος κακῶς, τὰ πρῶτα τῆς συναφῆς τοῦ γάμου καλὰ σημαίνει, τὰ δὲ

6 τις ♂ (i. e. Ἄρης vel potius Ἄρεος) ἀνέρος ἐστίν P. 10 ὅσοι et φιλοπολέμοισιν P. 14 ἰσαφίκητες ἢ ἐς δέσμας ἀρνίῳ P. 17 ἔχει πολυπτόρθιος P. 19 possis αὔξησιν πρῆξίν τε. 20 ἕπεται P. 21 εὐγενεῖ μὴ P. 25 συνδέτων P. 26 διήξομεν, fort. scripsit διίξομεν. fort. post hunc versum nonnulli omissi sunt. 33 καλῶς P.

ἔσχατα φαῦλα, ἐναντίως δὲ ἐχόντων ἐναντία. καὶ τὰ περὶ τοῦ γάμου νόει·

108 πάντοτε δ' Ἀφρογενὴς κέντρον δυτικὸν κατέχουσα

*** ἐὰν δὲ ἡ Ἀφροδίτη ὁμοῦ καὶ Ζεύς, Κρόνος δὲ ἀλλαχόθεν ἴδῃ αὐτοὺς ἢ καὶ Ἄρης, ταῖς δεσποίναις ἑαυτῶν συγκοιμῶνται. καὶ ἐπὶ τῶν θηλειῶν τὸ αὐτό σοι νοείσθω. Ἀφροδίτη ὡρονομοῦσα παρὰ τὴν αἵρεσιν ἤτοι μεσουρανοῦσα ὑπὸ τὰς αὐγὰς τοῦ Ἄρεως κεκεντρωμένου πρὸς αὐτὴν ποιεῖ γάμον ἐκ ταπεινοῦ καὶ Ἑρμοῦ ἐποπτεύσαντος δημοσίαν καὶ μιγάδα ἄξει εἰς γάμον. ἐὰν δὲ τὸ ζ' ζώδιον [τὸ] ἀπὸ τῆς ὥρας κακωθῇ ἀπὸ κακοποιοῦ ἢ καὶ ὑπαύγου, τάδε ποιεῖ. Κρόνος μὲν ** διαφέρει ἕνεκα ἀρχαίων ἢ ἀποθανόντων πράξεις, ὁ δὲ Ζεὺς ἕνεκα δημοσίων, ὁ δὲ Ἑρμῆς ἕνεκα λογιστικῶν καὶ τοιούτων· ἢ καὶ γυναῖκας ποιεῖ ῥυπαίνεσθαι παρὰ δούλων. ὁ δὲ Ἄρης μοιχικάς· ἐὰν δὲ αὐτῷ οὕτως ἔχοντι καὶ ὁ Ἑρμῆς συμπαρῇ, αὐτοχείρους ποιοῦσι τῶν ἰδίων γυναικῶν. ἡ δὲ Ἀφροδίτη καὶ δυσγαμίαν παρέχει· καὶ ἐὰν εὑρεθῇ οὕτως ὁ Κρόνος, γεραιός τις ἐστὶν ὁ συγκοιμώμενος ἢ καὶ φθείρας· εἰ δὲ Ἄρης, ταπεινός τις ἤτοι σωματέμπορος· εἰ δὲ Ζεύς, πλούσιός τις· εἰ δὲ Ἀφροδίτη, ἐν εὐφροσύνῃ καὶ μέθῃ· εἰ δὲ Ἑρμῆς, ἐξ ἀπάτης καὶ ὑποσχέσεως καὶ τῶν τοιούτων. κατὰ δὲ πάροδον, φησίν, ἐπὶ τῶν ἐν ἡλικίαις Ζεὺς ἐπισυμβαίνων τοῖς τῆς Ἀφροδίτης τόποις ἢ καὶ Κρόνου ποιεῖ γάμους καὶ Ἀφροδίτη δὲ ἐν τοῖς ἰδίοις τόποις. ταῦτα δὲ χρὴ στοχάζεσθαι ἐπὶ τῶν ἐγγὺς ὑπόπτων· σκεπτέον δὲ ὁμοίως καὶ τοὺς γαμικοὺς κλήρους τότε.

De liberis.

Hephaest., II, 21*a*. (Περὶ τέκνων)... ... πάλιν δὲ ὁ Δωρόθεος περὶ τέκνων σκεπτόμενος λέγει. δεῖ τοὺς τριγωνοκράτορας τοῦ Διὸς σκοπεῖν πῶς κεῖνται ἐν τῇ γενέσει, εἴτ' ἐν καλοῖς τόποις ἢ ἐναντίοις ἢ ὃς μὲν ἔστιν, ὃς δὲ οὔ, καὶ πρὸς αὐτοὺς ἀποτελεῖν τήν τε πρώτην καὶ δευτέραν πρᾶξιν ὁμοίους αὐτοῖς διασημαίνειν σκέπτου, εἰ ἐν καλοῖς τόποις ὁ κλῆρος εἴη καὶ μὴ ἐν ἀσπόροις· ἐπειδήπερ ἐὰν εὑρεθῇ ἐν τῷ ς' ἢ ἐν τῷ ιβ', ἢ ἄγονος, φησίν, ἔσται ἢ κλαύσει τὰ τικτόμενα. ἐὰν δὲ ὁ κλῆρος καὶ τὸ δῦνον αὐτοῖς ὁμοίως καὶ τὰ τετράπλευρα χηρεύῃ ἄστρων καὶ μάλιστα ἀγαθῶν,

109 φράζεο τούσδε γονῆς ἐπιδευέας αἰὲν ἐόντας.

εἰ δὲ τὰ ζῴδια τὰ περιέχοντα τὰ τέκνα καὶ οἱ ἑπόντες ἀστέρες θηλυκῆς ὦσι φύσεως, θηλυκὰ ἔσται τὰ τικτόμενα· εἰ δὲ ἀρρενικὰ ἢ μεμιγμένα, ὁμοίως ἀρρενικὰ [καὶ] ἢ καὶ μεμιγμένα.

1 nempe καὶ ταῦτα. 3 plura attulerat Heph. 4 ἢ] ἡ P. 5 αὐτοῖς P. 11 lac. octo litt. in P. aliquid turbatum, possis ἐπιφέρει. 17 φθείρας] l. φθορεύς? σωματ' ἔμπαρος P ut vid. 21 ♄ P, fort. Κρόνος. 22 fort. ἑπόντων. 29-30 haec expedire non possum. 32 fort. <καὶ> αὐτοῖς. 33 ἄστρον et ἀγαθὸν P. 34 γονεῖς P. 35 τέκνα] nempe κέντρα.

De amicis et inimicis.

Hephaest., II, 22. (Περὶ φίλων καὶ ἐχθρῶν)... ἐκκείσθω δὲ πάλιν καὶ τὰ παρὰ Δωροθέῳ σφόδρα [καὶ] καλῶς εἰρημένα. ἄλλοι δέ, φησίν, ἐπιβλέπουσιν τὸν κλῆρον τοῦ ἔρωτος, δηλονότι πῶς κεῖται, ὑπὸ ποίων ἀστέρων θεωρεῖται, καὶ αὐτὸν τὸν περὶ φιλίας σκοποῦσι.

110 Ἄρης δ' εὖτέ κεν <ἦ> καθυπέρτερος Ἑρμείαο,

ὁμοίως ἐὰν ᾖ ἐν τοῖς ἀκούουσι ζῳδίοις ἤτοι ἐν τοῖς βλέπουσι, συμπαθεῖς ἔσονται αἱ γενέσεις. ἀκούει δὲ ἀλλήλων τὰ ἴσον ἀπέχοντα τοῦ ἰσημερινοῦ ζῳδιακοῦ, οἷον Σκορπίος καὶ Ἰχθύες, Δίδυμοι καὶ Ὑδροχόος καὶ ἐφεξῆς τὰ ἄλλα ζῴδια. Κριὸς δὲ καὶ Ζυγός, φησὶν ἀκολουθῶν Θρασύλλῳ[1], οὐκ ἀκούει ἀλλήλων. βλέποντα δὲ ζῴδια τὰ ἴσον ἀπέχοντα τῶν τροπικῶν ζῳδίων. Κριὸς δὲ ἐπιτάττει τῷ Ζυγῷ διὰ τὸ ἐν μὲν Κριῷ αὔξειν τὴν ἡμέραν, ἐν δὲ Ζυγῷ μειοῦν· ὁμοίως καὶ Σκορπίῳ καὶ Αἰγόκερῳ ἐπιτάττει, τῷ αὐτῷ τρόπῳ καὶ τὰ ἄλλα. καὶ τὰ ἰσανάφορα δὲ ζῴδια συμπαθῆ ἐστιν ἀλλήλοις, μάλιστα ἐὰν τῶν δύο γενέσεων οἱ κλῆροι τοῦ ἔρωτος ἐμπέσωσιν εἰς αὐτά· ἔστιν δὲ καὶ ἐν ἐν τούτοις πλείων ἰσχὺς καὶ ἐλάττων, πλείων μὲν ἐν τοῖς ἀπὸ Κριοῦ ἕως Παρθένου καὶ αὐτῆς, ἐλάττων δὲ ἐν τῷ ἄλλῳ ἡμισφαιρίῳ. οὐ μόνον δὲ χρὴ ἐπὶ τῶν φίλων τὰ περὶ φιλίας σκοπεῖν ἐν τοῖς προεκτεθειμένοις σχήμασιν, ἀλλὰ καὶ ἐπὶ γυναικὸς καὶ ἀνδρὸς καὶ πατρὸς καὶ μητρὸς καὶ τέκνων.

De peregrinatione.

Hephaest., II, 23. (Περὶ ξενιτείας)... πάλιν δὲ τὰ ἔπη <τὰ> ταύτην ἑρμηνεύοντα προσγράφομεν τοῦ εὐχεροῦς καὶ μνήμης χάριν. τὴν τριταίαν ἡμέραν τῆς γενέσεως σκέπτου, φησίν, ἐν ᾗ τὸ βρέφος ἄρχεται τρέφεσθαι, εἰ ὁ Ἄρης τότε σύνεστι τῇ Σελήνῃ ἢ τετραγωνίζει ἢ διαμετρεῖ ἢ ἐν αὐτῇ τῇ Σελήνῃ τότε γίνοιτο

111 Φαίνων καὶ Πυρόεις νυκτὸς ** ἤματι δ' Ἄρης.

σκόπει δὲ πάλιν καὶ τοὺς τριγωνοκράτορας τοῦ τῆς αἱρέσεως φωτός· εἰ μὲν εἶεν ἐν οἰκείοις τόποις, οὐ ποιοῦσι ξενιτείας· εἰ δὲ ἐν ἀλλοτρίοις, ποιοῦσι.

5 possis delere τὸν aut audacius restituere καὶ ἐξ αὐτοῦ τὰ περὶ. 6 κεν ᾖ] καὶ P. ἑρμοίας P. 9 dicere debebat τῶν ἰσημ. σημείων τοῦ ζῳδιακοῦ. 13 με pro μὲν P. signum Aquarii loco Librae. 14 ἴσα ἀνάφορα P. 17 πλεῖον ἰχθὺς P. ἀπό] Scorpii nota in P. 23 ἔπη τά] ἐπὶ P. 25 ἡμέραν] ὅτι P. 26 συνέστη P. 27 τῇ] ἡ P, corr. dubitans. 28 lac. sex litt. in P; possis καλοί, si priora aliter constituas.

[1] De Thrasyllo astrologo cf. Porphyr, *Isag.* 195, 21 (ed. 1559); Bouché-Leclercq, *Astr. gr.*, 555, n. 4.

De mortis genere.

Hephaest., II, 24. (Περὶ θανάτου ποιότητος) exposita Ptolemaei sententia pergit: ἄλλοι δὲ περισκοποῦσι τὰ περὶ τοῦ θανάτου ἐκ τοῦ ὀγδόου ζῳδίου τοῦ εἴδους καὶ τὴν φύσιν αὐτῶν ὁρῶντες καὶ τὸν τούτου δεσπότην, ἔτι δὲ καὶ τοὺς συσχηματιζομένους ἀστέρας· καὶ ἐκ τούτων ἀποφαίνονται καὶ τὰ εἴδη τοῦ θανάτου ὁμοίως ταῖς προλελεγμέναις φύσεσιν ἀστέρων τε καὶ ζῳδίων.

112 ἄλλοι δ' ἐκ Μήνης εἰς ὄγδοον ὡρονόμοιο
ζῷον ἀριθμήσαντες ἀπὸ Κρόνου αὖθις ἔδωκαν·
εἰς ὃν δὴ λήξειε τόπον καὶ ἄνακτα τόποιο,
σκέπτονται τούτων ἐπιμάρτυρες οἵτινές εἰσι·
τῶν ἅπο δὴ φράσσαντο τέλος αἰσχρόν τε καὶ ἐσθλόν.

De temporum divisione.

Hephaest., II, 25. Περὶ χρόνων διαιρέσεως... ὁ δὲ Δωρόθεος διαιρῶν τοὺς χρόνους κέχρηται πρώτῳ ἀφέτῃ, εἰ μὲν εἴη ἡμερινὴ ἡ γένεσις καὶ ὁ Ἥλιος ἐπὶ τοῦ ὡροσκόπου ἢ ἐν τῷ μεσουρανήματι ἢ ἐν τῷ ἐνδεκάτῳ, <τῷ> κυρίῳ τῶν ὁρίων αὐτοῦ· οὐχ ἁπλῶς <δὲ> κέχρηται, ἀλλὰ χρή, φησίν, αὐτὸν ὁρᾶν τὰ ἴδια ὅρια. εἰ δὲ μὴ εἴη οὕτως, ἕτερος δέ τις ἀστὴρ ὁρᾷ τὸν Ἥλιον ἔχοντα τὸν ἴδιον οἶκον, οὗτος λαμβάνεται. εἰ δὲ καὶ οὗτος ἀπόστροφος εἴη τοῦ Ἡλίου, ἄλλος δέ τις ἴδοι αὐτὸν ἐπέχοντα, καὶ οὗτος λαμβάνεται ὁ ὁρῶν τὸν Ἥλιον ἐπέχοντα τὸ ἴδιον τρίγωνον. ταῦτα μὲν ἐπὶ ἡμερινῆς γενέσεως, ἐὰν ᾖ ὁ Ἥλιος ἐν ἐπικαίροις τόποις καὶ ὁρώμενος παρὰ τοῦ τῶν ὁρίων κυρίου αὐτοῦ ἢ τοῦ οἴκου ἢ τοῦ ὑψώματος ἢ τοῦ τριγώνου. εἰ δὲ μὴ αὐτὸς εἴη, τύχῃ δὲ ἡ Σελήνη, αὐτῆς τὸν κύριον προκρίνομεν τῷ αὐτῷ τρόπῳ. εἰ δὲ μὴ αὐτῆς, τὸν κύριον τοῦ κλήρου τῆς τύχης. εἰ δὲ πάλιν ὁ κλῆρος μὴ εὑρεθῇ, εἰ μὲν εἴη ἡ προγενομένη συζυγία συνοδικὴ ἐν ἐπικαίρῳ τόπῳ, τὸν κύριον αὐτῆς· εἰ δὲ πανσεληνιακή, ὁμοίως τὸν κύριον αὐτῆς. εἰ δὲ τούτων ὁ κύριος μὴ εὑρεθῇ, τελευταῖον πάντων τὸν τοῦ ὡροσκόπου λαμβάνομεν τῷ αὐτῷ τρόπῳ, ὥς φησι.

118 πάντως δ' οὖν ἀφέτην χρῆν μάρτυρα τῶνδε τετύχθαι.

Ἐπὶ δὲ νυκτερινῆς γενέσεως τὴν Σελήνην προκρίνομεν ἐν ἐπικαίρῳ οὖσαν τόπῳ· ἐὰν δὲ αὐτὴν μὴ εὑρίσκωμεν, τύχῃ δὲ ὁ Ἥλιος ἐν ταῖς παρὰ τὸν ὡροσκόπον ἐγγὺς ὑπὸ γῆν μοίραις, τῷ κυρίῳ πάλιν αὐτοῦ χρησώμεθα. πρὸς τούτοις δὲ χρὴ σκοπεῖν τοὺς ἀφετικοὺς τόπους καὶ

2 Cf. *Catal.*, II, 159. 8 ἐκ Μήνης εἰς] ἐκμηνύσεις P. ὡρονόμιον P. 9 ζώδιον P. 12 τὸν et φράσαντο P. 21 ἴδει P. fort. del ἐπέχοντα. 23 τῶν ὁρίων τοῦ κυρίου P. 25 fort. participium ad τύχῃ pertinens excidit. 27 συνοδικῶς ut vid. P. 31 τόνδε P. hic ut saepe suspicio est, ne plures versus attulerit Hephaest.

προκρίνειν τὸν ἀπηλλαγμένον καὶ ἐλεύθερον κακοποιῶν † συστασίας. δίδοται παρ' ἑκάστου τῶν ἀστέρων τῇ τάξει τῶν ὁρίων ἐφεξῆς ὁ χρόνος κατὰ τὰς ἀναφοράς, φησίν, τοῦ οἰκείου κλίματος. Ἔστω δὲ καὶ τὸ ὑπόδειγμα αὐτοῦ περὶ τούτων ***.

De anno.

Hephaest., II, 24. (Περὶ ἐνιαυτοῦ)... ἡ δὲ Ἀφροδίτη ὁμοίως τὰ αὐτὰ καὶ χάριν παρὰ θηλείας, ὁ δὲ Ἑρμῆς ἐκ λόγων κέρδη.

119 ἦν δὲ μόλῃ λυκάβαντος ἀφ' ὡρονόμοιο δοθέντος ***.

De mensibus et diebus.

Hephaest., II, 27. (Περὶ μηνῶν καὶ ἡμερῶν)... ὁ δὲ Δωρόθεος περὶ μηνὸς καὶ ἡμέρας ταῦτα λέγει·

120 ἔστω σοι καὶ μῆνα δοκευέμεν ὧδ' ἐρέοντι ***.

De Lunae in καταρχῇ partibus.

Hephaest., III, 1. (Περὶ ἐπιτηδείων ζῳδίων καὶ Σελήνης ἐπιτηρήσεων εἰς καταρχήν). Τὰ μὲν οὖν ὀρθῶς ἀνατέλλοντα ζῴδια (ἔστι δὲ τὰ ἀπὸ Καρκίνου ἕως Τοξότου) ἐπὶ τῆς ἀνατολῆς ἀκάκωτα τυχόντα ἀνεμποδίστως τὰ πραττόμενα τελέσει· τὰ δὲ λοξὰ (ἔστι δὲ τὰ ἀπὸ Αἰγοκέρωτος ἕως Διδύμων) ἄνευ μαρτυρίας ἀγαθοποιῶν ἀστέρων δυσκατέργαστα καὶ πολυχρόνια μηνύει· καὶ τὰ τροπικὰ δὲ ἐν τῇ ἀνατολῇ ὄντα μετατρέπει ταχέως τὸ πραττόμενον. ἐν δὲ ἡμεριναῖς πράξεσιν ἐπιτηρητέον τόν τε Κριὸν καὶ Λέοντα καὶ Τοξότην καὶ Καρκίνον, εἰ εἴη τις ἐπὶ τῆς ἀνατολῆς καὶ ἡ Σελήνη τινὰ τούτων παροδεύει. ἐν δὲ νυκτεριναῖς ὁμοίως τὰ διάμετρα τῶν ἡμερινῶν ζῳδίων ἐπισκοπητέον· βλάπτει δὲ καὶ ἡ Σελήνη ἐκλείπουσα καὶ μάλιστα ἐν τῷ γενεθλίῳ ζῳδίῳ ἢ τοῖς τούτου τριγώνοις, ἔτι δὲ καὶ ἐν συνόδῳ·

121 ἀτὰρ καὶ τοίη ἐοῦσα
ἐς κακοεργείην ἐκλείψιός ἐστιν ἀμείνων·
καὶ δὲ συνεργῆσαι δόλια φρεσὶ μητιόωντι
καὶ λάθρῃ πρήσσοντι καὶ ὅσσα χρῄζε σιωπῇς.

ἐπιτηρητέον δὲ καὶ τὸ δωδεκατημόριον αὐτῆς, μὴ ἐμπέσῃ ὅπου Κρόνος ἢ Ἄρης· μηδὲ μὴν αὐτὴ ἔστω ἐν πανσελήνῳ·

125 δεῖ γὰρ ἔριν τε διχοστασίην τε τιτύσκειν.

1 συστασίας ob compendium non certum, tolerabile συνουσίας. 2 fort. <καὶ> δίδοται. 4 exemplo obfuit librarii pigritia. 15 ἐστὶ τὰ δὲ P, εἰσὶ τὰ A. 17 ἐστὶ δὲ P, εἰσὶ A. 21 εἴη A, εἶ P. 22 τινὶ P. 27 κακοεργίην A P (o alt. eras. P). ἐκλείψεως A P. 28 μητιόωντα A. 29 πρήσσοντα A, πρήσσονται P. ὅσα χρήζει σιωπῆς A P. 30 αὐτῶν A. 31 μὴν A, μὴ P, μηδὲ μὲν αὐτὴ fuit in fine hexametri. 32 διχοστασίαν et τιτύσκει P, fuitne δὴ γὰρ?

μήτε ἐν τοῖς ἐκλειπτικοῖς μήτε κατὰ μῆκος ἢ πλάτος τοῖς ἀριθμοῖς ἀφαιροῦσα μήτε εἴη ἐν τῷ νοτίῳ πέρατι μήτε ἐν ταῖς τελευταίαις μοίραις τῶν ζῳδίων, ἐπειδὴ κακοποιοί εἰσιν.

Hephaest., III, 2. (Ὅπως χρὴ πῆξαι καθολικὰς καταρχάς) post alia quae omnia e Dorotheo hausta videntur: ἐὰν δὲ ἔμπαλιν ἡ Σελήνη μὲν ἐν τοῖς ἀποκλίμασιν, ὁ δὲ κύριος τοῦ αὐτῆς οἴκου ἐν τοῖς κέντροις, τὰ κατ' ἀρχὴν οὐδαμινὰ καὶ ἄχρηστα, τὰ δὲ τελευταῖα λαμπρά·

126 ἀρχαὶ μὲν γὰρ ἔασι πολυτρέπτοιο Σελήνης
αὐτῆς, ἐν δ' οἴκοιο θεῷ κρατέοντι τελευτή.

Hephaest., III, 4. (Πῶς ἄν τις προγνοίη τὰς πεύσεις τῶν βουλομένων σκέψασθαι ἐκ καταρχῆς) post alia multa vestigium sermonis epici in his servari videtur: πρόσωπα δὲ [sc. δηλοῖ] ὁ μὲν τοῦ Κρόνου πρεσβυτικὰ στιβαρὰ βαρύμηνα πανοῦργα.

De domo aedificanda.

Hephaest., III, 7. (Περὶ κτίσεων καὶ οἰκοδομιῶν καὶ καθιδρύσεων)... Δωρόθεος δὲ παραινεῖ ἐν τοῖς ἔπεσι περὶ οἰκοδομίας οὕτως·

128 ἡνίκα δ' αὖτε θέμεθλα δομήιά τ' ἔργα τελειοῖς,
προσθετικὴ φάεσιν καὶ τοῖς κατὰ μῆκος ἀριθμοῖς
130 ἔστω τοι Κερόεσσα τό τε πλάτος ἐμβαίνουσα,
ᾧ τε βορειότατον ζώνης πλινθήιόν ἐστιν,
ἢ Διὸς ἢ Παφίης ἐν σχήμασι μαρτυρεόντων
† ἢ καὶ συνεσσομένων Φαίνων γέμεναι ἐνερύκει
δερκόμενος, μαλερὴν δὲ περὶ φλόγα Θοῦρος ὁρίνει.

De nuptiis.

Hephaest., III, 9. (Περὶ γάμου, totum Dorothei est). Περὶ γάμου ἐπισκοπητέον οὕτως·

135 ἄνδρα μὲν Ἥλιον καὶ ἀνερχόμενον σκοπὸν ὥρης,
αὐτὴν δ' ἐκ ζῴου θ' ἱμερόφρονα δυομένοιο
κούρην ἂν φράσσαιο καὶ ἠυκόμου Κυθερείης·
ἐκ δὲ μεσουρανίου, τὸ καὶ ἔπλετο τηλόθι γαίης,
οἷον ἄμ' ἀλλήλοις ἄμφω βίον ἐκτελέουσι,
140 ἀμφὶ δέ τοι προικὸς μέσατον χθονὸς ἐξαγορεύσει.

3 ἐπεὶ δὲ P. 8 ἐῶσι P. πολυτρέπτοιο et supra scr. στ A, πολυστρ. P. τῆς σελήνης P. 9 οἴκοις A P. 18 προσθετικοὶ φάεσι P. 19 καιρόεσσαι et ου supra και P. τό τε] ὅτι P. ἐμβαίνουσαι P. 20 ὧ τι P. 21 ταφίης ἐσχήμασι P. 22 verba ipsa non recuperavi; tolerarem εἰ καὶ σινομένοις Φ. φέγγεσσιν ἐρύκει. 23 μαλερὸν P. Sequentia quoque Dorothei esse videntur, quae tamen longum est hoc loco publicare. 28 ζωδίου θ' ἡμερόφρονα P, vocalem longam pro brevi usurpatam poeta haud indignam putavi. 29 κόρην ἂν φράσαιο P. 32 ἰδέ pro δέ et χοανός P.

δερκομένῳ, τίνες ἐσθλὰ τίνες κακὰ τεκμαίρουσι,
'Ηέλιος φαυλοῖσι βεβλαμμένος 'Αφροτενής τε
Ζηνὸς ἐπεσσυμένου ἢ καὶ παρεόντος ἅμ' αὐτῇ
ἀνέρι πῆμα φέρουσιν, ἀτὰρ μέγα χάρμα γυναικί.
ἔμπαλιν αὖ Παφίην ὁπόταν βροτολοιγὸς ἴδῃσι
ἢ Φαίνων κρυόεις, ὀλοὸν τόδε σῆμα δάμαρτι
ἔσσεται αἰσχύνη τε καὶ οὐκ ἐπὶ δηθὰ μένουσιν.
ἦν δ' ἔτι καὶ Μήνη στυγερὸν περὶ σῆμα γένηται,
ἀμφοτέροις εἴη κεν ἀπώσιος ἥδε καταρχή.
ἐσθλοὶ δ' αὖ † μβίοις ὠκὺν γόνον εἰσορόωντες
παίδων τέκμαρ ἔχουσιν ἐτήτυμον· ἐν τροπικῷ δὲ
ζῴῳ μηδέ νυ Κύπρις ἔοι τότε μηδὲ Σελήνη.
Κύπρις μαχλοτάτην τεύχει ῥυπαρήν τε δάμαρτα
θήσει φωριδίοισιν ἀρεσκομένην λεχέεσσιν.
ἢ δέ κεν οὐ χρονίην εὐνὴν ὀπάσειε Σελήνη·
τοὔνεκεν ἐν Κριῷ μιν ἀναίνεο πάμπαν ἐούσης
νυμφεύσειν· δὴ γάρ κεν ἀπὸ Ζυγοῦ αἶψά κεν εἴη.

aliquanto post :

εἰ γέ μεν † ἐμ πόσιός τις ἔχει δάμαρ ἠὲ δάμαρτος
ἀνὴρ ἐν ζῴῳ Μήνην κακοδαιμονέοντι,
τούτων ἀμφοτέρων κράτος οἴσεται, ὅς κεν ἔχῃσι
δωδέκατον μετὰ χῶρον ἀφ' ὡρονόμοιο Σελήνην
εἰν ἑτέρου γενέσει, καὶ δεσπότῃ εἴκελος ἔσται.
ἔξοχα δ' αὖ πάμμηνος ἀνιηρὴ γαμέοντι,

τουτέστι πανσέληνος· καὶ αἱ Σελῆναι δὲ τῶν δύο γενέσεων διαμετροῦσαι ἀλλήλας ἀπαίσιοί εἰσιν, διχονοίας γὰρ παραίτιοι· κρατήσει δὲ ὅμως ἐν ταῖς φιλονεικίαις ὁ ἔχων ὑπὲρ γῆν τὴν Σελήνην. ἐν δὲ ἀρρενικῷ βεβῶσα 'Αφροδίτη, ὁ δὲ Ζεὺς ἐν θηλυκῷ, τοῖς ἀνδράσι τὸ τοιοῦτον σχῆμα καλὸν ὑπάρχει· ἔμπαλιν δὲ ταῖς θηλείαις, ὅταν ἡ μὲν 'Αφροδίτη ἐν θηλυκῷ, ὁ δὲ Ζεὺς ἐν ἀρσενικῷ. ταῦτα μὲν ἐν τοῖς ἔπεσι Δωρόθεος ἐκτίθεται.

De mariti et uxoris discidio.

Hephaest., III, 11. (Περὶ χωρισμῶν). Τοὺς δὲ χωρισμοὺς αὐτῶν καὶ ἐπανελεύσεις ἐπιβλέπειν δεῖ οὕτως. τῆς καταρχῆς, ἐν ᾗ γεγένηται ὁ χωρισμὸς ἢ καὶ ἐν ᾗ τις ὥρᾳ πυνθάνεταί σου, ὅρα τὴν 'Αφροδίτην καὶ

1 στεκμαίρουσι P. 2 φαῦλος P. 5 εἰδεισι P. 7 μένονσιν P haec sana esse non spondeo. 9 ἀπόσιος ἥδε P. 10 fort. δ' ἀμφοίν. 14 ἀρεσκομένη λεχέεσιν P. 15 ἡ] εἰ P. 16 μιν] μὲν P. 17 νύμφεσιν ἤδη γὰρ P. nempe ἀπόζυγος. 19 *et* maritus *et* uxor. 20 μήνη P. 21 τὸ κράτος P. 23 ἠν et ἴκελος P. 24 ἔξαχα δ' αὖ παμμήνωσιν ἀνῆρι γαμέοντι P. 25 πανσέληνον καὶ ἀσέληνον δὲ P. 26 ἁπλήσιοι P. 33 Edidi ex P et V(atic.) 191, saec. XIV, fol. 106. 34 post οὕτως ὅτε P^2 fort. recte. τὴν καταρχὴν libri. 35 ἡ καὶ - σου om. V. 'Αφροδίτην] ☾ V.

τὸν "Ηλιον· ἐὰν τοίνυν εὕρῃς τὸν μὲν "Ηλιον ἐν τῷ μεσουρανήματι ἢ ἐν τῷ ἑνδεκάτῳ, τὴν δὲ 'Αφροδίτην ἑσπερίαν ἀναποδίζουσαν, λέγε αὐτῷ αὖθις τὴν γυναῖκα ἐπανελεύσεσθαι θυμήρως·

εἰ δέ γε μὴν ἄλοχος δόμον ἀνέρος ἐκλείπῃσι,
πρὶν Μήνην διάμετρον ἐς 'Ηελίοιο περῆσαι,
οὐ μάλα ῥηιδίως εἰς ἀνέρος ἵξεται οἶκον.
ἅψ δ' ἀπὸ παμμήνου ὁπότ' ἔρχεται 'Ηελιόνδε,
τηνίκα οἱ νόστον τεκμαιρέμεν εἶναι ὀπίσσω.

ἐπ' αὐτῆς δὲ τῆς συνόδου δυσχερῶς· ἐὰν δὲ ὁ "Ηλιος, ἐν ὅσῳ ἡ Σελήνη ἀπαρτίζει τὸν κύκλον, εὑρεθῇ εἰς ἕτερον ζῴδιον θηλυκὸν 'Αφροδίτης σὺν αὐτῷ οὔσης, ὁ ἀνὴρ διαλυθέντος τοῦ γάμου ἑτέραν γαμήσει. ἐπιτηρητέον δὲ καὶ τὸν ὡροσκόπον καὶ τὴν Σελήνην, ἐπειδὴ τυχόντες οὗτοι ἐπὶ στερεῶν ζῳδίων ἐν τῇ καταρχῇ βέβαια ποιοῦσιν, ἐπὶ δὲ δισώμων τὰ ἐοικότα, ἐπὶ δὲ τροπικῶν τρεπτὰ καὶ ἀβέβαια.

De emptione et venditione.

Hephaest., III, 16. (Περὶ ἀγορασίας διαφόρων εἰδῶν)... πληθούσης δὲ τῆς Σελήνης καὶ τῷ μήκει καὶ τῷ πλάτει προστιθείσης ἐν τῷ ἀναβιβάζοντι ὁ ἀγοράζων πλείονα τιμὴν παρέξει· λειψιφώτου δὲ οὔσης καὶ τοῖς ἀριθμοῖς ἀφαιρούσης ἐν τῷ καταβιβάζοντι ὁ ἀγοράζων ἐλάττονα τιμὴν δώσει. λέγει γὰρ οὕτως Δωρόθεος·

συνδέσμῳ δ' ἀνάγοντι Σεληναίης παρεούσης
εἰ μὲν πλησιφάεσσα δρόμον τ' αὔξῃσιν ἀριθμοῖς,
ὅττι κεν ὠνήσει, δώσεις πλέον ἢ δόμεναι χρή.
αὐτίκα δ' ἐν κατάγοντι πορεύμασιν οἷσιν ἔλεξα
ἐρχομένης ἐπὶ μεῖον ἐλαφρὴ ἔσσεται ὠνή.
καὶ δὲ Σεληναίης φάσιν αἱ λεύσσῃς κεν ἰούσης
ἐκ συνόδου πρῶτον μετα<νισσομένης> τετράπλευρον
αἴθοπος 'Ηελίοιο, δικαιοτέροισιν ἄμεινον·
χρήματα γὰρ δώσεις ὅσου ἄξιον ἦν ἀγοράζειν
καὶ πρῆγμα λῷον καταθήσεαι οὔτε μὲν ἦσσον
οὔτε λίην τι περισσόν. ἕως δέ κεν εἰς διάμετρον
ἐσθλὴ πιπράσκοντι καὶ ἐγκαλέοντι συνοίσει.
τὸ τρίτον αὖ τετράγωνον ἐπὴν ἑλικῶπις ὁδεύῃ,
ὠνεῖσθαι τότε καλὸν ὃ βούλεται ἢ διακόψαι.

1 ἔυ] V in fine lineae. μεσουρανήματι] (κύκλῳ) V. 2 ἑσπερινὴν V. 4 ἀνείρος P. 7 αὐπὸ P. 8 οἴνωτον τέκμαρ ἐμμένειν εἶναι ὀπίσω P. 11 ἀτῶ V. 17 τῆς ♁ P notis simillimis inter se commutatis. 21 ☾ P. 22 ἡ μὲν πλησιφάεσα P. 24 ἔληξα P. 26 φάσιν αἱ] φάσιαι P. 29 ὅσον P. 30 λόιον καταθήσαι P. 31 κεν εἰς] possis κίῃ vel κίχῃ. 34 διακόψαι si dixit, " vendere „ significare voluit.

τετρατίῃ πλευρῇ δὲ θεῆς σύνοδόνδε κιούσης
βαιὸν ἂν ἐκ πολλοῦ δοίης, τό τοι ἔσσετ' ἄμεινον.

De regibus adeundis.

Hephaest., III, 20. (Πῶς δεῖ ἄρχοντι καὶ δυνάστῃ συντυχεῖν). Ἁρμόζει δὲ ἄρχοντι συντυχεῖν τῆς Σελήνης οὔσης ἐν Κριῷ καὶ Ταύρῳ καὶ Διδύμοις καὶ Καρκίνῳ καὶ Παρθένῳ καὶ Ζυγῷ, μάλιστα ὅταν ἔχῃ τις δίκαιον πρᾶγμα ἢ χρῆμα ἀπαιτῇ· καὶ ἐν Σκορπίῳ καὶ Τοξότῃ καὶ Αἰγόκερῳ οὔσης, τῶν ἀγαθοποιῶν μέντοι ἐπιβλεπόντων αὐτὴν ἀκάκωτον οὖσαν. παραιτεῖσθαι τὰ ἐντυχικὰ οὔσης ἐν Λέοντι καὶ Ὑδροχόῳ καὶ Ἰχθύσιν. διὰ δὲ τὸ ἀμφίβολον τοῦ Τοξότου ἁρμόσει τὰς ἐντυχίας ποιεῖσθαι περὶ τῶν εἰς κατηγορίαν ῥεπόντων, χάριτος δὲ καὶ ὅσα αἰτήσεως ἔχει ἀνεπιτεύκτως ἔχει. εἰ δὲ ἴδῃς καὶ τὰς γενέσεις τούτων οἷς συντυχεῖν θέλεις,

καὶ δ' ὅταν ἐξ ὥρης † κεκλωμένον ἔν τινι ζῴῳ
κείμενον εἰς ἐνιαυτόν, ἔχει δ' ἐν τῷδε Σελήνην
ᾧτινι συμβαλέεις, μάλα κεν πεφιλήσεαι αὐτῷ.
ἦν ἔτος ἀμφοτέροισιν ὁμοῦ πέσῃ εἰς ἕνα χῶρον,
σύμφωνον· τὸ δ' ὅμοιον ἐπὶ ζῴων ἀκουόντων
ἦν ἢ δερκομένων, ἀριθμὸς δέ κεν ἐν Κρόνου εὖτε
ζωιδίῳ Παφίης τ' ἐκλειπτικὸς οὐ παροδεύῃ.
εὖτε δέ περ μέλλῃς φιλίας ξυνδήμεναι ἀρχήν,
πρῶτα μὲν ἀλλήλοις εὐσύνδετα φῶτά τοι ἔστω
καὶ δ' ἀγαθοὶ τούτοις ἐπιμάρτυρες, οἱ δ' ὀλοεργοί
εἶεν † ἀπόστροφοι· μᾶλλόν γε μέν ἐστι κακίων
Ἄρης Ἠλιός † τ' ἐναντίος ἢ τετράγωνος
εἴῃ, ἀτὰρ Φαίνων, ὁπόταν λευκάντυγα Μήνην
† καὶ δ' ἄλλῳ συνίησι ἄμεινον ἐπεί κε πέλοιεν
ἀστέρες ὀρφναῖοι θέσιας λελαχόντες ἀγαυάς
χώραις αἷσι γάνυνται.

καὶ κατὰ τὰ πρόσωπα τοὺς ἀστέρας ἐφάρμοζε, τὰ μὲν στρατιωτικὰ τῷ Ἄρει, τὰ δὲ ἡγεμονικὰ καὶ βασιλικὰ Διί, τὰ πρεσβυτικὰ τῷ Κρόνῳ, τὰ θηλυκὰ τῇ Ἀφροδίτῃ, τὰ λογικὰ τῷ Ἑρμῇ.

1 σύνοδον P. 2 πολοῦ P. ἐκ π. dixisse videtur pro ἀντὶ π. ἕ ἔσεται P. 7 ἀποτοίη P. 9 manca est oratio. 10 Sagittarius est εὐμετάβολος, cf. Maximus, ed. Ludwich, p. 107, 14. 11 ὅσα καὶ P. 12 οἷς] ἢ P. 14 nil mutare ausus sum nisi ζώοις. 16 ὥτιν ξυμβάλεις μάλιστα κεν τε φίλησαι ἑαυτῷ P. 18 τὸ] τῶν P. 19 ἦεν P. χρόνω mutavi dubitans. 20 ζωδίω φιλίης ἐκληπτικὸς mutavi dubitans; fort. in ἀριθμός est vitium, et χρόνος dominum temporis, ζώδιον φιλίας amicitiae clerum designat. 21 ξυναλήμεναι P, nolui ξυνθήμεναι. 23 οἱ δολοεργοὶ P. 24 fort. formavit ἀποστρόφιοι. 25 possis Ἄρης Ἠλίῳ εἰ ἐν. et infra λευκάντυγι Μήνῃ. 26 ἀτὲρ P. 27 fuit sic fere : καὶ δ' ἄλλοισιν ἔασιν ἀμείνονες, εἴ κε π. 28 λελαχότες P. 29 ῥεσίεσσι γανῦνται P. 30 κατὰ in P extare non praesto, cum littera detrita sit.

De servitute.

Hephaest., III, 21. (Περὶ ἐλευθερώσεως)... φυλάσσειν δὲ χρὴ ἐν πρώτοις τὴν Σελήνην ἀκάκωτον καὶ ἀγαθοῖς συνάπτουσαν· ἐπεὶ τὸ ἐναντίον παθούσης ἡ δουλεία πολλῷ ἀμείνων ἔσται τῆς ἐλευθερίας, ὥς φησι Δωρόθεος ἐν ἔπεσιν·

δουλοσύνη κρείσσων καὶ ἐλευθερίης κε γένοιτο.

καὶ τὸ ἡμισφαίριον δὲ τό τε ὑπὲρ γῆν καὶ τὸ ὑπὸ γῆν ὁρατέον· οἱ γὰρ ὑπὲρ γῆν τὰ μετὰ τὴν ἐλευθερίαν μηνύουσιν, οἱ δὲ ὑπὸ γῆν τὰ ἐν τῇ ἐλευθερίᾳ· καὶ ἐὰν μέν τις εἰς τὸ ὑπὲρ γῆν ἡμισφαίριον ᾖ τῶν ἀγαθοποιῶν, πάγκαλα τὰ μετὰ τὴν ἐλευθερίαν προμηνυτέα καὶ χρόνους ζωῆς·

Μήνη δ' ἐν δυτικῷ σὺν ἑοῖ φθοροποιὸν ἔχουσα
αἶψά κεν ἐξολέσειε πεφευγότα δούλιον ἦμαρ·

τουτέστιν ἀπολλύει εὐθὺς μετὰ τὴν ἐλευθερίαν οὕτω τυχοῦσα ἡ Σελήνη.

De interrogatione.

Hephaest., III, 26. Εἴ τις οὖν χρήζων προσενέγκαι αἵρεσιν περὶ οἱουδήποτε πράγματος,

κεῖνον ἀφ' ὡρονόμοιο λογίζεο, σὸν δὲ τὸ δῦνον·

ἡ πρᾶξις τὸ μεσουράνημα, τὸ τέλος τὸ ὑπόγειον.

De mutuo dando et accipiendo.

Hephaest., III, 28, (Περὶ δανείων)... φυλάττου δὲ δανείζων τὴν τοῦ Ἑρμοῦ μετὰ Κρόνου στάσιν καὶ ἔτι τῆς Σελήνης ἐν ἀρχῇ τοῦ Λέοντος καὶ τῶν Διδύμων καὶ τοῦ Τοξότου, καὶ ὅτε τούτων αἱ ἀρχαὶ τῶν ζῳδίων

γαίης ὑπεραντέλλουσι.
εἰ δὲ λαβεῖν ἐθέλεις αὐτὸς χρέος, ὧδέ τοι ἔστω
λώιον· Ὑδροχόῳ καὶ Σκορπίῳ ἠδὲ Λέοντι
δῖα Σεληναίη καὶ Ἰχθύσιν ἀμφὶς ἑοῦσα
ἢ ἐνὶ Τοξευτῇ καί οἱ φάος ἐνδεὲς ἔστω,
ὣς δ' αὕτως καὶ ἀριθμός·

ἡ δὲ Ἀφροδίτη καὶ Ζεὺς καὶ ὁ Ἑρμῆς ἐπιμαρτυρήσωσι τῇ Σελήνῃ· πολὺ βέλτιον, ἐὰν καὶ τῷ ὡρονόμῳ [1].

6 δουλωσύνη P. pro καὶ in P nota verbi κέντρων. ἐπιθερίης καὶ γένοιτο P. 11 συνέει P. 12 δοῦλον P. 13 ἀπολύειν P. 25 ὑπὲρ ἀνατέλλουσιν P. 26 ὧδε] δέ P. 27 καὶ λέοντι P.

[1] Subiungo excerptum e cod. 3, f. 278ᵛ, ρλε', ad eundem locum carminis Dorotheani pertinens, quod ex ipso potius Dorotheo quam ex Hephaest., III, 28, fluxisse crediderim.

Δωροθέου Σιδωνίου περὶ δανείου.

Ἐὰν δανείσεσθαι θέλῃς, ἔστω ὁ μὲν ὡροσκόπος ὁ δανειστής, τὸ δὲ δοῦνον ὁ δανειζόμενος, τὸ διὸ μενον τὸ μεσουράνημα ἢ ὁ Ἑρμῆς καὶ ἡ Σελήνη· τὸ δὲ ὑπόγειον μηνύσει τὴν ἔκβασιν τοῦ χρέους. ἐὰν ἡ Σελήνη ἀκάκωτος, ἀπολήψεται ὃ ἐδάνεισεν· Ἑρμῆς δὲ ἀπὸ Κρόνου βλαπτόμενος βλάβην καὶ δόλον ἔσεσθαι τῷ δανείσαντι μηνύει ἀπὸ τοῦ δανεισαμένου. Ἑρμῆς ὑπὸ Ἄρεως βλαπτόμενος ἔρις καὶ μάχας καὶ κατηγορίας μεταξὺ ἀμφοτέρων ἔσεσθαι δηλοῖ. Ἐὰν δανείσασθαι θέλῃς, ἔστω ἡ Σελήνη Ὑδροχόῳ ἢ Σκορπίῳ ἢ Λέοντι ἢ Ἰχθύσιν ἢ Τοξότῃ λειψιφωτοῦσα καὶ τοῖς ἀριθμοῖς ἀφαιροῦσα, καὶ Ζεὺς καὶ Ἑρμῆς καὶ Ἀφροδίτη μαρτυροῦντες αὐτῇ καὶ τῷ ὡροσκόπῳ ἢ αὐτῇ μόνῃ· ἐὰν δὲ ἀμφοτέροις † ἐπι εἰκὸς δὲ καὶ τὸ δάνεισμα ἔσται.

De peregrinatione.

Hephaest., III, 30. (Περὶ ἀποδημίας).

211 Εἰ δέ νύ τις πάτρηθεν ἐπ' ἀλλοδαπὴν χθόνα βαίνοι,
αὐτὸν ἀφ' ὡρονόμου, χῶρόν γέ μεν εἰς ὃν ἄπεισιν,
ἐκ δυτικοῦ κέντρου, πρῆξιν δέ τοι ἐκ μεσάτοιο
ὕψεος εὖ φράσσαιο· τί δὲ <αὖ> τέλος ἔσσεται αὐτῷ,
215 ζώῳ ὑποχθονίῳ σάφα κεν μάλα τεκμήραιο.

ἐπιζήτει, φησίν, τοὺς ἀγαθοποιοὺς τῶν ἀστέρων, ὁποίαν στάσιν ἔχουσι καὶ σχήματα· ἀγαθὸν γὰρ καθολικῶς μηδενὸς τῶν ἀστέρων στηρίζοντος καὶ συσχηματιζομένου τῇ Σελήνῃ τὰς ἐκδημίας ποιεῖν· συμφορώτατον δὲ ἀποδημεῖν τῆς Σελήνης αὐξούσης τῷ φωτὶ καὶ προστιθείσης τοῖς τε κατὰ μῆκος ἀριθμοῖς καὶ τῷ πλάτει. Post nonnulla alia : ταῦτα δὲ καὶ Δωρόθεος ἐν τοῖς ἔπεσιν ἀναδιδάσκει οὕτως·

216 ἐσθλὸς ἐν ὡρονόμῳ βεβαὼς ἐν πᾶσιν ἄριστος
ἐσθλὸς [δὲ] καὶ δύνοντι βεβὼς ἐπικερδέα χῶρον
κεῖνον, ἐφ' ὃν τις ἄπεισι, λέγει, κἢν εἵνεκα δόξης
εἰς αὐτὸν στέλλοιτο· παρὼν δ' ἐν τῷδε πυραυγὴς
220 Ἄρης ἢ Φαίνων κρυόεις ὅτε μέν γε βαρείας
νούσους, ἄλλοτε δ' αὖτε μάχας, ὅτε δ' ὕβριας αἰνάς.
μηδὲ Σεληναίης ἐπὶ δαίμονος οὐλομένοιο
ἠὲ τύχης, ὅπερ ἕκτον ἀφ' ὡρονόμοιο, βεβώσης
ἄρχοιο ξενίης· ἢ γὰρ τόδε πῆμα φυτεύει
225 ἠὲ δυσεργείην ἢ καὶ βιότῳ τινὰ λώβην.
ναὶ μὲν δὴ καὶ ἄνακτα <τόπων> τεκμαίρεο Μήνης

2 debebat δανείσασθαι. 4 fuit olim Σελήνη ἢ. 7 formavit ἔρεις ut πόλεις. 12 possis ἐπιεικὲς [δὲ], sed aliud quid latere videtur. 15 πατρῶθεν P. 18 φρασεο-τί δὲ τ. ἔσται P. αὐτῇ P. 19 κεν μάλα] ε μάλιστα P. 26 βεβαὼς P. 30 γε] τις P. 32 ἐνι δαίμον' P (fort. fuit -μονος). 36 possis ἄνακτ' οἴκου et sim.

ἠδὲ καὶ ὡρονόμου, μήπου κεκρυμμένος εἴῃ
φέγγεϊ μαρμαρυγῇ <τε> δεδασμένος Ἠελίοιο.
εἰ δὲ στηρίζει τις ἀπ' ἀμφοτέρων † τούτων,
230 βαρδίστας κεν ὁδοὺς ἢ πρήξιας ἐκτελέσειεν.

5 καθολικῶς ἐκ παρατηρήσεως· ἐν τῷ δυτικῷ κέντρῳ τυχοῦσα ἢ ἐν τῷ τούτου ἀποκλίματι μακρὰς τὰς ἀποδημίας παρέχει, τοῖς τε ἀπὸ ξένης εἰς τὰ οἰκεῖα ἐρχομένοις τὸ αὐτὸ σχῆμα ταχείας τὰς ἀναστροφὰς δηλοῖ. τὸν οὖν τῆς Σελήνης, φησίν, οἰκοδεσπότην καὶ τοῦ ὡροσκόπου ὁρατέον, μὴ ὕπαυγοι εἶεν ἢ στηρίζοντες· παρολκὴν γὰρ ἢ ἀπραξίαν 10 ἐργάζονται.

... ἀσύμφορον δὲ ἐν Κριῷ· οὐ μόνον γὰρ πλοῦ, ἀλλὰ καὶ ἐμπορίας κατάρχεσθαι ἀηδές· ὁ δὲ Δωρόθεος οὐ δέχεται τοῦτο...

Καὶ ταῦτα μὲν ὁ Νικαεὺς Πρωταγόρας· ὁ δὲ Δωρόθεος ἐν τοῖς ἔπεσι περὶ ἀναγωγῆς ταῦτα·

15 231 πλωέμεναι χατέουσιν ἀληθέα ταῦτά κεν εἴποις.
εὖτε Σεληναίῃ μήτις κακὸς ἠέπερ ἐσθλὸς
μαρτυρέοι καὶ δ' αὐτὴ ὑπερχθονίη φορέοιτο
τῶν πρώτων Κριοῖο παρερχομένη μοιράων
235 εἰς δεκάτην, οὕτω κεν ἐΰπλους τεκμαίροιο.
20 Ταύρῳ δὲ μέγα χεῖμα, κακὸς δὲ <ἑ> μήτις ὁράτω,
λυγρὸν ἐπεὶ τούτοις ἔργου τέλος αἰὲν ὁμαρτεῖ.
ἐν Διδύμοις εὖτ' ἄν τις ἀπ' ὀγδοάτης ἀνάγηται,
νόστος μὲν χρόνιος τότε γ' ἔσσεται, ἀλλ' ἐπιτερπής·
240 Καρκίνος αὖ πολλαῖς κεν ἀνιήσειε γαλήναις,
25 ἀλλ' οὐδὲν βλαφθεὶς ἀφίκοιτό κεν ᾗχι θελήσει.
αἴ κε δ' ἐπὶ βλοσυροῖο τύχῃ † καθε Λέοντος,
ἔσται τις κίνδυνος ὑπέρθ' ἁλὸς ἀνέρι τούτῳ·
μαρτυρέων δ' ὁλοός τις ἐπ' ἄλγεσιν ἄλγεα θήσει.
245 ναὶ μήν, Παρθενικὴ σταχυηφόρος, οὔτι † περώην
30 οἴσεις ἀνομένοις πλόον ἀνδράσιν· ἀμφὶ Ζυγῷ δὲ
ἐκ μοίρης δεκάτης οὐ μέμψεται οὔτε κέλευθον
ὑγρὴν οὔτε περ ἄλλο, καὶ ἢν † ἔστωησ ἴῃσι.
Σκορπίῳ ἀμφὶς ἐοῦσα τὰ μὲν κατὰ πόντον ἐκείνοις
250 ἀσφαλέως θήσει, ψυχὴν δ' εἴωθε ταράσσειν.
35 Τοξευτὴς χειμῶνα φόβους τ' ἐπισύρεται ἄλλους.
εὔπλοος Αἰγόκερως, ὅτ' ἀμείψεται ἐννέα μοίρας·
ἔμπης δ' αὖτε καὶ αὐτὸς ἄγει ταραχήν τινα θυμῷ.

1 ὡρονόμοιο μήπου κεκρυμένοι ἢ P. 2 φθέγγεα μ. δεδασμένοι P. 4 βραδεῖς τάς κεν P. 6 τοὺς ... ἐρχομένους P. 15 ἀλητέα P. 18 παρεχομένη P. 19 κεὔπλοας P. 21 ἐπὶ τούτους P. 22 ἐστάν τις P. ἀποδογδοάτης P. 23 χρόνοις τό γε ἔσται P. 26 καὶ καδε βλ. P at fort. in καθε latet καθύπερθε. λέονος P. 28 ἀλγεσθήση P. 30 ενομένοις P. 32 ἔστω compendio solito exprimitur. 34 ἀσφαλεσθήση P. 35 χειμώνων ἀφόβους P.

νωθὴς Ὑδροχόος, τὸ δέ τοι τέλος οὐκ ἐπίεμπτον.
235 Ἰχθύσι δ' αὖ † κίνδυνον νόσον τ' ἐπὶ τοῖσιν ἔσεσθαι
σημαίνει, Θουροῖο μάλιστα <δὲ> δερκομένοιο
λυγρὴ μαρτυρίη· πεφύλαξο δὲ νήϊον ἱστόν.

φησὶ γὰρ ἐν τοῖς ἑξῆς· μὴ ἔστω ἡ Σελήνη συνάπτουσα τῷ Κρόνῳ στηρίζοντι μήτε τετράγωνος. λέγει γὰρ ὅτι, ἐὰν καὶ τριγωνίζῃ, καὶ οὕτως μόγις σωθήσονται ἐκβαλόντες τοῦ φορτίου. συνδιατιθέντος δὲ μετ' αὐτῶν στηρίζοντος καὶ τοῦ Ἑρμοῦ πλείονα καὶ χείρονα τὰ κακὰ ἔσται, ἀγαθοποιοῦ δὲ ὁρῶντος ἐλαφρὰ τὰ κακά.

258 εἴκελα δ' αὖ τούτοις ῥέξει Κρόνος ὡρονομεύων
καὶ χωρὶς Μήνης ἑλικώπιδος· εἰ δ' ἐν ζῴῳ
260 εἴη ὅπῃ καὶ πρόσθεν, ὅτ' ἔκπεσε μητέρος ἀνήρ,
ἠὲ τρίγωνος ἐὼν ἢ καὶ τετράγωνος ἐκείνῳ
ἠὲ καὶ ἄντικρυς, τότε κεν μήκιστα γένοιτο.
εἰ δὲ θέσιν τοίην, οἵην Φαίνοντος ἔλεξα,
σχοίη Ἄρης Μήνης καθ' ὑπέρτερον

ἡμισφαίριον ἐρχομένης, τουτέστιν εἰς τὸ δέκατον ἀπ' αὐτοῦ ἐρχομένης μάλιστα, κακὰ σημαίνει καὶ μίση καὶ στάσεις καὶ ἐν αὐτῇ τῇ νηὶ καὶ ἕως αἱμαγμοῦ·

265 εὖτε δέ κεν Πυρόεις Φαίνων θ' ἅμα καὶ τρίτος Ἑρμῆς
τοίην ἄλλοθεν ἄλλος ἐπισκοπέῃσι Σελήνην
ἧπερ καὶ ἐξ ὁμόθεν, στυγερὸς καὶ ἄφυκτος ὄλεθρος.
ἶσα δὲ καὶ Στίλβοντι μιγεὶς ὀλοφώιος Ἄρης.
ἦν δὲ Κρόνος καὶ Ἄρης ὁ <μὲν> Ἥλιον ὃς δὲ Σελήνην
270 δέρκηται, καὶ τοῖσιν ἀεικέα λυγρὰ πιφαύσκει.
Ζεὺς δ' ὅτε τετράπλευρος ἄνω χθονὸς εἴδετ' ἰοῦσαν
ἠύκερον Μήνην, τότε κεν πλόος ἔσσεται ἐσθλός.
καὶ πρῆξις τούτοις καὶ ἐλπίδες αἱ κατὰ θυμὸν
ἕψονται μάλα † δ' ἄν κεν, ἐπὴν ἐρόεσσα Κυθήρη
275 Αἰγιόχῳ λεύσσῃσιν ὁμοῦ· κῆν ἄλλοθεν αὐτὴ
ὀσσομένη, τότε πολλὰ χαρίσσεται οἷα λέλεκται.
καλὰ δὲ καὶ μουνὰξ κραιπνὴν ὁρόωσα Σελήνην
δώσει Κύπρις ἄνασσα καὶ ὠφελίας τινὰς ὠκεῖς
καὶ πλόον ἠρεμέοντα γυναικείους τ' ὀαρισμούς.
280 εὖτέ γε μὴν φάεσσι δυσὶν νωμήτορες ἑσθλῶν,
Ἠελίῳ Μήνῃ τε, σὺν Ἑρμάωνι γένωνται
μάρτυρες, οὐκ ἔσται τούτου πλόος ἄλλος ἀμείνων.
ἡνίκα δ' ὡρονόμῳ κακομήτιες ἐγγεγάωσιν

1 τοι] τι P. 2 possis ὀδύνην τε νόσον τ. 8 αὐτοὺς P. 11 fort. ἐνὶ ζῴῳ. 14 ἢ καὶ ἄντικρυ P. 16 μήνας καθ' ὕπερον P. 21 ἄλλοθι P. 22 ἰπὲν P. 24 ἡλίω P. 26 ἀνὰ χ. ἴδηται οὖσαν P. 30 λεύσνσιν P. 31 χαρίσεται P. 35 φάεσι P. 37 οὐκέτε P.

ἀστέρες, † εὑρύκεται δὲ θοῇ συνέωσι Σελήνῃ,
285 ἢ καὶ ἐναλλάγδην, σκαιὴν ποιοῦσι θάλασσαν.

. . . . . κρύψας ἐνέθηκεν
φαρμακόεν † λύσις· ἀτὰρ οὔτι γε Καρκίνος αἴθων
οὔτε Λέων τούτοισιν ἐπάρκιος. ἡ δέ νυ Κούρη
ἐσθλὴ καὶ Ζυγὸς ἶσον. ἀτὰρ χθόνα ποσσὶν ἀμύσσων
290 Σκορπίος οὐκέτι τοῖος· Ὀιστευτῆρι τε ῥέζειν
ἠδὲ καὶ Αἰγοκερῆϊ· καθ' Ὑδροχόου δὲ βεβώσης
ὥρης ἢ Μήνης ἀνεμώλια πάντα τελέσσεις.
ἐν δέ τοι Ἰχθύσιν ἔστιν ἀπὸ ἕο λυγρὰ διώκειν.
Ζεὺς δὲ καὶ Ἀφρογενὴς <ὥρῃ> Μήνη τε παρέστων
295 ἠέ νυ λευσσόντων· σκεδάσουσι γὰρ αὐτίκα πῆμα.

De discordiis.

Hephaest., III, 34. (Περὶ κριτηρίων καὶ ἐκκλήτου καὶ νίκης καὶ ἥττης)... ἐκτεθείσθω δὲ καὶ τὰ παρὰ Δωροθέῳ περὶ τούτων εὐεπείας χάριν καὶ μνήμης·

296 ναὶ μὴν εἰς κρίσιας περινεικέας ὀρνυμένοισι
ὧδε σύ κεν χατέουσιν ἀληθείην ἀγορεύσεις.
λάμβανε δ' ἐκ ζῴοιο κατήγορον ὡρονομοῦντος·
κῆν μὲν ἕοι στερεόν, γνώμην ἣν ἔσχε φυλάξει.
300 ἐκ δέ νυ τῶν, ἃ δίσωμα φατίζεται, ἐκ μετανοίης
τρέψεται ἐξ ἑτέροιο καὶ εἰς ὁδὸν ἴξεται ἄλλην.
ζῳοῖς δ' ἐν τροπικοῖς ἀτελὴς τοῦδ' ἔσσεται ὁρμή.

τὰ ἄλλα ἐφεξῆς ὁμοίως· ἐν δὲ τῷ τέλει φησίν·

. . . . . εὖτε δ' ἂν ἄμφω
ὥρης καὶ δύσιος γίνοιντό κεν εἰν ἑνὶ ζῴῳ
305 ἐρχόμενοι βασιλῆες ἐν οἰκείοισι προσώποις,
φράζεο νείκεα ταῦτα· καὶ Ἑρμείαο μὲν ὄντος
ζωιδίου, πρὸς τέκνον ἢ ἐν τέκνοιό γε τάξει
κείμενον· εἰ Παφίης δὲ τύχῃ, κατέναντα γυναικῶν
ἢ καὶ ἀδελφειῆς προσκηδέος ἠὲ θυγατρὸς
310 ἠέ νυ θηλυτέρης, ξυνὸν λέχος ἤτε λέλογχεν.
εἰ δ' ἀφ' Ἐνυαλίου . . . . . .
† οἰκρούς. . . . . .

1 latet εὐεργεῖς vel sim. δὴ P. 3 seqq. ad aliud caput (περὶ φαρμάκων vel sim.) pertinere videntur, plura igitur exciderunt. 4 silne λύσσης an λύσεις diiudicari nequit. ἀρτὰρ ὅ τι (litt. erasa) P. 6 ποσὶν P. 7 infinitivus pro imperativo. 8 αἰγοκήρῃϊ P. 9 τελέσεις P. 12 λευσόντων P. 17 περ ἢ νείκαια P. 26 ἓν P. 28 ἑρμίω μὲν ὄντως P. 31 ἀδελφῆς π. ἢ P. 32 λέλοχεν P. 33 et 34 spatia vacua relicta in P.

. . . . . ὅτε δ' αὖτε πέλει τόπος Αἰγιόχοιο,
ἤτοι πρεσβυτέροισιν ὁμαίμοσι δηριόωσιν
ἢ θείοις. εἰ δ' αὖτε Κρόνου, γενέτας κεν ἐφεύροις
ἢ πάππους ἢ τοῖσιν ἐοικότας <ἔκ τε> χρόνοιο
ἐκ τε γένους. τὰ δὲ ὅμοια καὶ Ἡελίου ἐνὶ χώρῳ.
ἐν δὲ Σεληναίης ἢ μητέρας ἢ μητρυιάς.

De inclusis in carcerem.

Hephaest., III, 36. (Περὶ τῶν εἰργομένων). Περὶ δὲ τῶν εἰργομένων ἐπιτηρητέον τὴν Σελήνην καθ' αὑτήν, ἐν ποίῳ ζῳδίῳ τυγχάνει τῇ ὥρᾳ τοῦ εἴργεσθαι· καὶ ἐὰν μὲν τύχῃ ἐν Κριῷ,

. . . . . λύσιν τέκμαιρε ταχεῖαν.
ἐν Ταύρῳ μενέει δὲ πολὺν χρόνον· εἵνεκα δ' αὖτε
κτήσιος ἦν ἄρα τοῦτο πάθῃ, ταύτην μὲν ὀλέσσει.
ὕστερον αὖ φυλακὴν καὶ ἄλγεα φεύξεται αὐτός.
ἐν δὲ Κασιγνήτοις, εἰ μὴ λύσιν ἐν τρισὶν ἕξει
ἤμασι τοῖς πρώτοις, τετρύσεται ἐν κακότητι.
Καρκίνος αὖτ' ἐπὶ δηρὸν ἀεικείῃ μιν ἐρύξει.
εὖτε δὲ βρυχητῆρος ὑπερφορέοιτο Λέοντος,
ἀνδρὸς ἐρισθενέος καὶ μείζονος ἄλγε' ἔκητι
† ἔπεται οὐδὲ μίνυνθα συνέσσεται ἀλλ' ἐπὶ δηρόν.
ἀμφὶ δὲ Παρθενικῇ μάλα κεν ῥέποι ἔνθα καὶ ἔνθα,
ὅττι κε τεκμαίροιο· τὸ δὲ πλέον ἔστ' ἐπ' ἀρωγῇ.
ἐν Ζυγῷ ἔπλετο φύξις· ἐν ὀκταπόδῳ δὲ Σελήνη
Σκορπίῳ <εἰ> βεβάῃσιν, ἀεικείῃ μιν ἐρύξει
οὐδ' ὀλίγον μίμνοι κεν ἐπὶ χρόνον, ἔμπα δὲ λύει.
Τοξευτὴρ ἐπὶ μακρὸν ἐν ἄλγεσιν ἀνέρα <θήσει>,
πλὴν ἄνεσιν δεσμοῖο παρέξει . . . . . .
αὐτὰρ ἐν Ὑδροχόῳ καὶ Ἰχθύσι δὴν μενέουσι
τειρόμενοι χαλεπῇ τε κακηπελίῃ μογέοντες.
ταῦτα Σεληναίης μούνης τούτοισιν ἐπούσης,
οἷς προέφην· θέσιες γὰρ ἐναλλάσσουσί μιν ἄστρων,

τουτέστιν οἱ μὲν ἀγαθοποιοὶ συνόντες ἢ ὁρῶντες ταχεῖαν τὴν ἄφεσιν ποιοῦσιν, οἱ δὲ κακοποιοὶ οὐκέτι.

εἰ δ' ἄρ' ὁμοῦ Μαίης τε πάϊς Φαίνων τε καὶ Ἄρης,
τῇδέ μιν ἐν δεσμοῖς φθισίβροτος αἶσα κίχησι.

1 αἰχιόχοιο P. 2 δηδίωσιν P. 3 ἐν et γενετάο ut vid. et ἐφεύρης P. 4 πάππου et ἐοικότε P. 5 ἐν P. 6 τε σεληνένσϊ μ. ἠὲ P. 12 δὲ μενέει δὲ P. 13 ὀλέσει P. 14 δ' αὖ φυλακτηκήν P. 17 ἀεικίη μὴν P. 19 ἔκητι] ἐκεῖα P. 20 fort. nil latet nisi ἔσσεται συ ἔσεται P. 22 καὶ τεκμαίρεο P. πλέονεσ ἔπι (vel ει) ρωγῆ P. 23 σελήνην P. 24 βέβλησιν P. 28 ἀτὰρ P. 29 κακὴ πελείη P. 30 μόνης P. 31 μινὰς ἄστρων P. 35 δενμοῖς P.

καὶ δ' ὥρην φράζοιο τίνες τ' ἐπιμάρτυροι αὐτῇ
κείνην, ἥ ῥ' ἐφύτευσε καὶ ἤγαγεν ἀνέρ' ἐς ἦμαρ.
κρέσσων αὖ τούτοισι Σεληναίη μινύθουσα
ἔσσεται. αὐξομένη δὲ [τε] χερειότερ' ἔργα τελέσσει.
καὶ Μήνη σύνδεσμον ἐπὴν μέλλῃσιν ἄνασσα
λυέμεναι, τόδε σῆμα κακῶν τεκμήρατο φύξιν.
κὴν συναφὴν ἀκτῖσιν ὑπ' Ἡελίοιο τυχούσῃ
Κύπριδι ποιῆται, τότε δ' ἄρ βροτὸν αἰνὰ παθόντα
ἐκ συνοχῆς λύσειεν ἀεικελίων τ' ὀδυνάων.
ὡς δὲ καὶ Ἑρμείῃ συναφὴν δυτικῷ γεγαῶτι
ἑσπερίῳ τεύξασα κακῶν ἀπότευξιν ἔδωκε.
μέσσοις δ' ἐν ζῳοισιν ἀφ' ὕψεος οὐρανίοιο
εἴως δυομένου, ἵνα τε κλίσις εἰς νότον ἐστίν,
Κύπριδι συμμίσγουσα καὶ Ἑρμάωνι συνοῦσα
ῥύεται ἐκ δεσμοῖο, καὶ ἣν ἑλικῶπιν ἄνασσαν
Αἰγίοχός τε Κρόνος τε τριγωνίζωσιν ὁρῶντες
† οὔφιν ἄνευ . . . . . .

Hephaest., III, 37. (Περὶ δραπετῶν) incipit nunc a verbis : ταῦτα μὲν ἐν τοῖς ἔπεσι Δωρόθεος. Ergo librariorum pigritia versus interierunt.

1 βράζοιο P. 2 εἰς πῆμα P. 3 αὐτοῦ τοῖς P. 4 ἔσεται P. 8 δ' ἄρ] γὰρ P. 10 ἑρμήην ἴσον ἀμφοὶμ P. 12 μέσοις P. 14 κύπρι P. 16 αἰχίοχος et τριγωνί ζουσιν P. 17 spatium magnum relictum in P.

ERRATA

P. 7, v. 4, lege f. 234.
P. 27, v. 7, lege f. 202ᵛ.
P. 42, n. 1, v. 3, lege εἰς τὸ α΄ βιβλίον.
P. 51, inter F. 83ᵛ et F. 85, lege F. 84ᵛ (pro 85ᵛ).
P. 64, v. 23, lege Ἀντίγονος.

INDEX CODICUM

Consensus Numerorum

Cracovienses	2363			=	cod.	15
„	2526			=	„	16
Nikolsburgensis	II, 241			=	„	17
Vindobonenses	hist.	graec.	113	=	„	9
„	„	„	122	=	„	10
„	med.	„	8	=	„	11
„	„	„	27	=	„	12
„	„	„	49	=	„	13
„	philos.	„	15	=	„	5
„	„	„	37	=	„	6
„	„	„	108	—	„	1
„	„	„	115	=	„	2
„	„	„	179	=	„	3
„	„	„	190	=	„	7
„	„	„	262	=	„	4
„	„	„	287	=	„	8
„	theol.	„	244	=	„	14

INDICES NOMINUM

Numeri priores paginam et versum designant, posteriores uncis inclusi codicem et folium

---

I. NOMINA SCRIPTORUM

Achmes 42 (4, f. 112); 51 (8, f. 1).
Aegyptii 2 (1, f. 163ᵛ); 5 (1, f. 210ᵛ et 213); 6 (1, f. 232); 10 (1, f. 263ᵛ et 264); 11 (1, f. 270ᵛ); 15 (1, f. 345, 346ᵛ et 349); 29 (3, f. 37ᵛ); 41 (4, f. 77).
Ammonius philosophus 3 (1, f. 179).
Antigonus Nicaenus 5 (1, f. 214); 7 (1, f. 235ᵛ); 64, 14, 23; **67**, 6-**71**, 30.
Antiochus 9 (1, f. 249); 15 (1, f. 342ᵛ); 29 (3, f. 41 sqq.): 35 (3, f. 123); 51 (7, f. 83); 83, adn. 1.
Apollinarius 15 (1, f. 342ᵛ).
Apomasar 4 (1, f. 204ᵛ); 10 (1, f. 267ᵛ); 21 (2, f. 114 et 118); 22 (2, f. 120); 45 (4, f. 152ᵛ); 53 (10, f. 33); 62, 31.
Arabes 11 (1, f. 270); 15 (1, f. 345ᵛ); 35 adn.
Aristoteles 28 (3, f. 3).
Caniclius episcopus 4 (1, f. 203).
Capises 27 (2, f. 218ᵛ).
Critodemus 14 (1, f. 302 et 340ᵛ); 15 (1, f. 342ᵛ); 72, 19.
Demophilus 50 (6, cap. ϛα').
Dorotheus 5 (1, f. 213ᵛ); 8 (1, f. 246); 12 (1, f. 278ᵛ); 15 (1, f. 342ᵛ); 27 (2, f. 222); 41 (4, f. 77); 46 (4, f. 172ᵛ); 53 (10, f. 65ᵛ); 55 (10, f. 91); 64, 12; 67, 8; 72, 11; **81**, 1-11; **91-113**.
Esdras 51 (7, f. 73ᵛ); 56 (12, f. 119).
Gechias 42 (4, f. 115ᵛ).
Georgius Chrysococces 51 (7, f. 85).
Heliodorus 2 (1, f. 159); 6 (1, f. 225 et 226); 8 (1, f. 246ᵛ); 25 (2, f. 161 sqq.); 30 (3, f. 65); 33 (3, f. 96); 41 (4, f. 83 sqq.).
Hephaestion 5 (1, f. 213ᵛ et 214); 6 (1. f. 226 et 230ᵛ); 7 (1, cap. ξβ'); 8 (1, f. 246); 11 (1, f. 270ᵛ); 12 (1, cap. ρκζ', f. 278); 13 (1, f. 284 sqq.); 14 (1, f. 299, 302 et 340ᵛ); 15 (1, f. 342ᵛ et 347); 41 (4, f. 77); 48 (6, f. 248ᵛ); 51 (8, f. 38 sqq.); 57 (17, f. 26); **62**, 18-33; **67**, 1; **72**, 1-25. Cf. **92** sqq.
Hermes Trismegistus 21 (2, f. 117ᵛ); 24, (2, f. 152), 39 (4, f. 38ᵛ); 48 (4, f. 213ᵛ); **78**, 1-7.
Hero 34 (3, f. 111).
Hesiodus 33 (3, f. 92).
Hippocrates 35 (3, f. 123ᵛ).
Iohannes Apidun 42 (4, f. 115ᵛ).
Iohannes Camaterus 3 (1, f. 180ᵛ); 4 (1, f. 203 sqq.); 5 (1, f. 221); 7 (1, f. 233ᵛ et 234); 14 (1, f. 303ᵛ); 15 (1, f. 341ᵛ).
Iohannes Philoponus 3 (1, f. 182ᵛ).
Iulianus 20 (2, f. 107); 25 (2, f. 159); 32 (3, f. 79); **80**, 9-18, 32.
Manetho 5 (1, f. 214).
Masalas 55 (10, f. 81 et 87ᵛ).
Maseos Persa 44 (4, f. 143ᵛ).
Maximus 22 (2, f. 127 et 129ᵛ).
Mazunate Persa 34 (3, f. 110). Cf. Zanates.
Melampus 34 (3, f. 101); 51 (7, f. 74).
Muhamet Paelias 44 (4, f. 143ᵛ).
Nechepso 2 (1, f. 163); 5 (1, f. 214); 7 (1, f. 235ᵛ); 52 (8, f. 115); 56 (11, f. 294); 67, 5; 98, 24.

Palamedes 15 (1, f. 351).
Palchus 46 (4, f. 168 et 170); **63**, 1-**67**, 17.
Panaretus liber 11 (1, f. 276).
Pancharius 5 (1, f. 214).
Paulus Alexandrinus 5 (1, f. 210ᵛ); 7 (1, f, 236); 11 (1, f. 276); 15 (1, f. 346ᵛ); 31 (3, f. 70); 33 (3, f. 92ᵛ et 93ᵛ); 42 (4, f. 83ᵛ); 53 (10, f. 44).
Persae 2 (1, f. 30, 34 et 157ᵛ); 10 (1, f. 268ᵛ); 11 (1. f. 273ᵛ); 15 (1, f. 349); 40 (4, f. 52).
Petosiris 2 (1. f. 163); 5 (1, f. 214); 6 (1, f. 232); 7 (1, f. 235ᵛ); 14 (1, f. 299); 50 (6, cap. ρκη'); 56 (11, f. 294); 57 (16, f. 98); **62**, 7-17; 67, 5.
Porphyrius 5 (1, f. 214); 15 (1, f. 342ᵛ); 72, 5.
Proclus 28 (3, f. 11ᵛ); 33 (3, f. 93); **82**, 1-17.
Protagoras Nicaenus 109, 13.
Ptolemaeus 5 (1, f. 213ᵛ et 214); 6 (1, f. 230ᵛ et 232ᵛ); 7 (1, cap. οδ'); 8 (1, f. 246); 13 (1, f. 283 et 288ᵛ); 14 (1, f. 340ᵛ); 15 (1, f. 342ᵛ); 16 (2, f. 7 sqq.); 17 (2, f. 24); 28 (3, f. 13); 29 (3, f. 37ᵛ et 39ᵛ); 30 (3, f. 55); 33 (3, f. 94ᵛ); 41 (4, f. 77); 50 (6, f. 286); 51 (7, f. 83ᵛ sqq.); 53 (9, f. 153ᵛ); 56 (13, f. 22).
Pythagoras 2 (1, f. 163); 33 (3, f. 97ᵛ).
Rhetorius 9 (1, f. 249ᵛ); 13 (1, f. 281ᵛ sqq.); 48 (5, f. 1).
Salmeschiniaci libri 14 (1, f. 302); 15 (1, f. 347).
Salomo 35 (3, f. 124); **84**, 1-**87**, 33.
Saracenicus liber 27 (2, f. 218ᵛ).
Sechel Persa 4 (1, f. 203).
Senex 24 (2, f. 152ᵛ).
Serapio 47 (4, f. 203).
Stephanus Alexandrinus 14 (1, f. 292ᵛ); 45 (4, f. 151ᵛ), cf. 88, n. 1.
Syrus 9 (1, f. 261).
Teucer Babylonius 9 (1, f. 249ᵛ); 55 (10, f. 94ᵛ).
Theophilus 8 (1, f. 240 sqq.); 17 (2, f. 25 sqq.); 46 (4, f. 164 et 173ᵛ); 52 (8, f. 105).
Thrasyllus 100, 11.
Timaeus 7 (1, f. 236ᵛ).
Timocharis 8 (1, f. 241).
Valens 4 (1, f. 207); 5 (1, f. 224 et 224ᵛ); 17 (2, f. 24).
Zanates 1 (1, f. 1). Cf. Mazunate.

II. NOMINA CETERA

Aaron 84, 8.
Abraham 88, 16.
Achaicum clima 94, 53.
Aegyptus 53 (8, f. 191ᵛ); 93, 43, 45.
Aethiopes 94, 48.
Agareni 45 (4, f. 156ᵛ).
Alexander imperator 79, 27.
Alexander Magnus 79, 9, 11, 24.
Alexandrini 79, 21.
Ammon 94, 58.
Ampanan Tzengich decanus 76, 26.
Anasam Terichem decanus 77, 3.
Anasam Tetech decanus 75, 4.
Anesium decanus 73, 19
Aphach Mpeith decanus 75, 23.
Arabes (cf. ind. I) 11 (1, f. 274); 48 (5, f. 7ᵛ).
Arabia 93, 43, 44.
Arcades 94, 51.
Archimoi Ieluph decanus 76, 36.
Augustus imperator 79, 25.
Babylon 93, 42.
Basilius imperator 79, 26.
Baezinch decanus 77, 21.
Belus Tyrius 93, 42.
Cain Cham decanus 77, 33.
Cappadoces 94, 46.
Carthago 94, 57.
Chalchem Ichem decanus 77, 13.
Christus 88, 10, 11.
Chunliachm decanus 77, 25.
Chuntha decanus 73, 15.
Cimmeria 94, 62.
Constantinus imperator 79, 27.
Creta 94, 60.
Cyclades 94, 50.

Cyrene 94, 54.
Daniel 84, 9.
Delphaa decanus 73, 8.
Deroput decanus 76, 1.
Deucalio 46 (4, f. 173ᵛ).
Dido Tyria 94, 57.
Diocletianus 26 (2, f. 174ᵛ); 63, 2; 64, 27; 65, 23; 66, 17.
Elias 88, 3.
Europa 94, 61.
Gabao 88, 17, 20.
Galatia 45 (4, f. 162ᵛ).
Galli 94, 59.
Hadrianus 28 (3, f. 13); 67, 1 sqq.
Hellas 94, 49.
Hieraseser decanus 75, 1.
Iacob 88, 17.
Iohannes Chasanita 51 (8, f. 85).
Isaac 88, 17.
Italia 94, 55.
Iuppiter 94, 60.
Lacones 94, 53.
Laph Meich decanus 76, 30.
Lemnius lapis 52 (8, f. 182).
Leo imperator 79, 27.
Leontius 66, 16.
Libya 94, 58.
Machiluch decanus 77, 29.
Machram decanus 77, 9.
Manuel Comnenus 14 (1, f. 303ᵛ).
Marchem decanus 76, 13.
Medicum clima 93, 44.
Memphites lapis 53 (8, f. 191ᵛ).
Menaim Chilla decanus 76, 6.
Menophris rex 79, 10, 16, 23, 28.
Meroe 28 (3, f. primum).
Michael angelus 61, 2, 8, 16.
Michael imperator 79, 26.
Moyses 84, 8.
Mpei Pholach decanus 76, 10.
Muhamet 14 (1, f. 292ᵛ).
Ogygius 94, 51.
Panchalap decanus 75, 28.
Parcham decanus 73, 2,
Parescharti decanus 73, 24.
Perrhaebi 94, 47.
Pharanga 88, 18, 21.
Phoenices 94, 47.
Phrygia 45 (4, f. 162ᵛ); 94, 49.
Poch Melleph decanus 78, 1.
Pontus 94, 49.
Raphael 88, 5.
Rhodus 94, 50.
Romanus imperator 79, 28, 29.
Romani 11 (1, f. 274); 14 (1, f. 292ᵛ); 48 (5, f. 7ᵛ).
Sampach decanus 75, 19.
Sarchaam Comphes decanus 75, 8.
Seluacham 76, 23.
Septetyl 76, 20.
Seth 3 (1, f. 175).
Sicilia 94, 58.
Syrem Holachm decanus 78, 6.
Syrus 28 (3, f. 13).
Talantis Charcham decanus 75, 34.
Tenum Tanlach decanus 75, 12.
Theodora imperatrix 79, 26.
Theophilus imperator 79, 16, 25.
Thraces 94, 48.
Timotheus 14 (1, f. 292ᵛ).
Truchap Ialem decanus 75, 15.
Valach decanus 73, 5.
Zacchal decanus 73, 12.
Zach Mem decanus 76, 16.

TABULA ARGUMENTI

CATALOGUS CODICUM

Codices Vindobonenses 1
Codices Austriaci ceteri 57

APPENDIX

Excerpta ex codice 1 (Phil. gr. 108)

Formulae magicae 61
Πετοσίρεος περὶ συμφώνων τῶν τετραγώνων 62
Ἡφαιστίωνος περὶ θησαυροῦ 62
Exempla geniturarum ex Palcho 63
Καταρχὴ epistulae. — Ἑτέρα καταρχὴ περὶ σαβάνου ἀπολωλότος παιδίσκης. — Περὶ λέοντος μικροῦ εἰ ἡμερωθήσεται. — Καταρχὴ Λέοντος στεφθέντος ἐν Ἀλεξανδρείᾳ.
Imperatoris Hadriani genitura 67
Excerpta ex Hephaestionis, capite II, 10 72
De duodecim signorum decanis 73

Excerpta ex codice 2 (Phil. gr. 115)

Ἑρμοῦ τοῦ Τρισμεγίστου ἐπιλογὴ καθολική 79
Περὶ τῆς τοῦ Κυνὸς ἐπιτολῆς 79
Ἰουλιανοῦ περὶ ἀγορασμοῦ 80
Περὶ ἀγορασμοῦ κοινά 80
Ἀπὸ τοῦ γ' βιβλίου τοῦ Δωροθέου 81

EXCERPTA EX CODICE 3 (PHIL. GR. 179)

Procli fragmenta 82
De septem stellarum herbis 83
Incantamenta 84
Sapientia Salomonis 85
Incantamenta varia 88

DOROTHEI SIDONII FRAGMENTA METRICA 89

INDICES

Indices codicum 115
Indices nominum : I. Nomina scriptorum 117
II. Nomina cetera 118

Bruxellis. — Typis POLLEUNIS & CEUTERICK.

EN VENTE CHEZ LE MÊME ÉDITEUR

CATALOGUS CODICUM ASTROLOGORUM GRAECORUM

I. **Codices Florentinos** descripsit Alexander Olivieri. Accedunt fragmenta selecta primum edita a Boll, Cumont, Kroll, Olivieri, 1898 . . . . . 8 00

II. **Codices Venetos** descripserunt G. Kroll et A. Olivieri. Accedunt fragmenta primum edita a Boll, Cumont, Kroll, Olivieri, 1900 . . . . . 10 00

III. **Codices Mediolanenses** descripserunt Aemygdius Martini et Dominicus Bassi, 1901 . . . . . 3 00

IV. **Codices Italicos** praeter Florentinos, Venetos, Mediolanenses, Romanos descripserunt Bassi, Cumont, Martini, Olivieri, 1903 . . . . . 10 00

V. **Codices Romani**. Pars prior, auctoribus Francisco Boll et Francisco Cumont, prelo tradita est.

VI. **Codices Vindobonenses** descripsit Guilelmus Kroll, 1903 . . . . . 5 00

Cumont (**Franz**), *Textes et Monuments figurés relatifs aux mystères de Mithra*, publiés avec une introduction critique. Deux volumes in-4°, avec 509 figures dans le texte, 9 planches en héliotypie et 1 carte 90 00

— *Les Mystères de Mithra*, in-8°, 84 pages et 1 carte 5 00

Gaspard (**Camille**), *Essai de chronologie pindarique*, in-8°, 196 pages 5 00

Michel (**Charles**), professeur à l'Université de Liège. — *Recueil d'Inscriptions grecques pour servir à l'étude de l'Histoire et des Institutions de la Grèce ancienne jusqu'à la Conquête romaine*. Préface par B. Haussoulier, directeur d'études à l'École pratique des Hautes Études. Fort volume in-8° de XXVI-1000 pages 20 00

Van den Gheyn (**J.**), *Catalogue des Manuscrits de la Bibliothèque royale de Belgique*, Tome premier (Écriture-sainte et Liturgie), 1901, in-8°, XVI-592 pages 12 00

— Tome deuxième (Patrologie), 1902, in-8°, VIII-414 pages 12 00